Pedites quidem in medio et phalangitæ,
excursus habentes curribus *vacua* intervalla :
equites autem ordinavit, hos quidem a sinistra,
a dextra autem omnes Ægyptii exercitus milites (*pedites*).
Totum vero numerum quæsivi ego exercitus :
myriades centum *erant* fortium virorum.
Postquam autem Hebræis noster obviam factus est exercitus,
alii prope jacentes juxta littus
Rubri maris erant congregati.
Alii liberis infantibus dabant cibum,
simul et uxoribus, fatigati labore,
jumentaque simul et domorum supellex ;
ipsi autem inermes omnes ad pugnam,
videntes nos exclamarunt lacrimabilem
vocem, et ad cœlum se (*manus*) tetenderunt innumeri,
deum patrium *loquentes*. Multa vero erat hominum turba.
Nos autem omnes gaudium habebat vicissim.
Deinde contra illos posuimus castra,
ubi Beelzephon aliquod appellatur oppidum mortalibus.
Postquam autem ingens sol occiderat,
quievimus, volentes crastino mane pugnare,
confisi populo et horrendis armis.
Hinc divinorum cœpit ut miraculorum
prodigia conspiceremus : et aliqua repente magna
columna nubis atra stetit in terra,
inter nostra et Hebræorum castra.
Deinde illorum dux Moses, accipiens
virgam Dei, qua prius Ægypto mala
prodigia et monstra machinatus fuerat,
verberavit Rubri terga et divisit medium
profundum maris ; ipsi vero juncti fortiter
ruerunt celeres per salsam semitam.
Nos in eadem properamus statim
in vestigia ipsorum. Nocte in eos incidimus
cum clamore currentes, sed curruum rotæ
non vertebantur, tanquam vinculis illigatæ :
de cœlo autem lumen tanquam ignis magnum

ὤφθη τι ἡμῖν· ὡς μὲν εἰκάζειν, παρῆν
αὐτοῖς ἀρωγὸς ὁ Θεός. Ὡς δ᾽ ἤδη πέραν
ἦσαν θαλάσσης, κῦμα δ᾽ ἐρροίβδει μέγα
σύνεγγυς ἡμῶν· καί τις ἠλάλαξ᾽ ἰδὼν,
« Φεύγωμεν οἴκοι πρόσθεν Ὑψίστου χερός·
οἷς μὲν γάρ ἐστ᾽ ἀρωγὸς, ἡμῖν δ᾽ ἀθλίοις
ὄλεθρον ἔρδει· » καὶ συνεκλύσθη πόρος
Ἐρυθρᾶς θαλάσσης, καὶ στρατὸν διώλεσε.

Περὶ τούτων καὶ τοῦ φανέντος ὀρνέου Ἐζεκιῆλος ἐν τῇ Ἐξαγωγῇ παρεισάγει τινὰ λέγοντα τῷ Μωυσῇ, περὶ μὲν τῶν φοινίκων καὶ τῶν δώδεκα πηγῶν οὕτως.

ΣΚΟΠΟΣ.

Κράτιστε Μωσῆ, πρόσχες οἷον εὕρομεν
τόπον πρὸς αὐτῇ τῇδέ γ᾽ εὐαεῖ νάπῃ·
ἔστιν γὰρ, ὥς που καὶ σὺ τυγχάνεις ὁρῶν,
ἐκεῖ· τόθεν δὲ φέγγος ἐξέλαμψέ νιν,
κατ᾽ εὐφρόνην σημεῖον ὡς στύλος πυρός.
Ἐνταῦθα λειμῶν᾽ εὕρομεν κατάσκιον,
ὑγράς τε λιβάδας· δαψιλὴς χῶρος βαθὺς,
πηγὰς ἀφύσσων δώδεκ᾽ ἐκ μιᾶς πέτρας·
στελέχη δ᾽ ἐρυμνὰ πολλὰ φοινίκων πέλει
ἔγκαρπα, δεκάκις ἑπτὰ, καὶ ἐπίρρυτος
πέφυκε χλοίη θρέμμασιν χορτάσματα.

Εἶτα ὑποβὰς περὶ τοῦ φανέντος ὀρνέου διεξέρχεται.

Ἕτερον δὲ πρὸς τοῖσδ᾽ εἴδομεν ζῷον ξένον,
θαυμαστὸν, οἷον οὐδέπω ὥρακέ τις.
Διπλοῦν γὰρ ἦν τὸ μῆκος αἰετοῦ σχεδὸν,
πτεροῖσι ποικίλοισιν ἠδὲ χρώμασι·
στῆθος μὲν αὐτοῦ πορφυροῦν ἐφαίνετο,
σκέλη δὲ μιλτόχρωτα, καὶ κατ᾽ αὐχένα
κροκωτίνοις μαλλοῖσιν εὐτρεπίζετο,
κάρα δὲ κοττοῖς ἡμέροις παρεμφερὲς,
καὶ μηλίνῃ μὲν τῇ κόρῃ προσέβλεπε·
κύκλῳ κόρη δὲ κόκκος ὣς ἐφαίνετο·
φωνὴν δὲ πάντων εἶχεν ἐκπρεπεστάτην.
Βασιλεὺς δὲ πάντων ὀρνέων ἐφαίνετο,
ὡς ἦν νοῆσαι· πάντα γὰρ τὰ πτήν᾽ ὁμοῦ
ὄπισθεν αὐτοῦ δειλιῶντ᾽ ἐπέσσυτο,
αὐτὸς δὲ πρόσθεν, ταῦρος ὡς γαυρούμενος,
ἔβαινε κραιπνὸν βῆμα βαστάζων ποδός.

videbatur nobis : ut conjicere licet, aderat
ipsis auxiliator Deus. Postquam autem ultra
mare erant, fluctus latrabat magnus
juxta nos : et aliquis clamavit videns,
« Fugiamus domum ab Omnipotentis manu,
nam his ea auxiliatrix est, nobis autem miseris
perniciem affert. » Et inundato vado
Rubri maris, exercitum perdidit.

De his et ave quæ visa erat Ezechielus in *Eductione* aliquem exhibet colloquentem cum Mose, primum de palmis et duodecim fontibus ita :

EXPLORATOR.

Optime Moses, attende qualem invenerimus
locum juxta ipsam hanc salubrem convallem :
est enim, ut fere ipse vides,
illic : *modo* autem lumen illustravit illum,
nostrum per noctem signum sicut columna ignis.
Illic campum invenimus umbrosum
humidosque fontes : feracissimus locus profundus,
fontes ebulliens duodecim ex una petra :
arbores autem multæ palmarum sunt
fructuosæ, septuaginta, et abundans
est herba jumentis in pabulum.

Et paullo post narrat de ave quam viderunt :

Aliud autem præterea vidimus animal novum,
mirabile, quale nunquam quisquam vidit.
Duplum enim prope erat longitudine ad aquilam,
pennis variis et coloribus :
pectus quidem ipsius purpureum erat;
crura milto similia, et in cervice
crocea lanugine ornatum erat;
caput autem gallinaceis domesticis simile,
et melina pupilla aspiciebat;
in circuitu autem pupilla sicut coccus videbatur :
vocemque omnium habebat splendidissimam.
Rex vero videbatur omnium avium,
quantum licebat intelligere : omnes enim volucres simul
post ipsum timidæ incedebant :
ipse autem primus tanquam taurus superbus
ingrediebatur, celerem gressum gerens pedis.

FRAGMENTUM

DRAMATIS FORTASSE EJUSDEM EZECHIELI,

Ex prologo, ut videtur, petitum ab Epiphanio vol. I, p. 544, emendavit Scaliger Thes. Temp. p. 402.

Ὦ πᾶσιν ἀρχὴ καὶ πέρας κακῶν, ὄφις,
ἥ τ' ὢ βαρὺν τίκτουσα θησαυρὸν κακῶν,
Πλάνη τυφλοῦ ποδηγὸς ἀγνοίας βίου,
χαίρουσα θρήνοις καὶ στενάγμασι βροτῶν,
ὑμεῖς ἀθέσμους εἰς ὕβρεις ὁμοσπόρων
τὰς μισαδέλφους ὁπλίσαντες ὠλένας
Καῒν μολῦναι φοινίῳ πρῶτον λύθρῳ
ἐπείσατ' ὀργὴν, κἀξ ἀκηράτων πεσεῖν
αἰωνίων τε πρωτόπλαστον ἐς χθόνα
ὑμεῖς ἐτεκτήνασθε. . . .

O omnibus initium et finis malorum, serpens,
et o quæ gravem peperisti thesaurum malorum,
Erratio cæcæ in ignoratione vitæ dux,
gaudens fletibus et suspiriis mortalium,
vos ad nefandas injurias in germanos
armastis fratrem exosi brachia
Cainis, *eumque*, ut primus pollueret cædis sanguine
iram suam, incitastis, et ex integris ut caderet
æternisque (sedibus) primus homo in terram,
vos architectatæ estis. . .

ΧΡΙΣΤΟΣ ΠΑΣΧΩΝ.

CHRISTUS PATIENS.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ θεολόγου ὑπόθεσις δραματικὴ κατ' Εὐριπίδην περιέχουσα τὴν δι' ἡμᾶς γενομένην σάρκωσιν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὸ ἐν αὐτῷ κοσμοσωτήριον πάθος.

Ἐπείδ' ἀκούσας εὐσεβῶς ποιημάτων
ποιητικῶς νῦν εὐσεβῆ κλύειν θέλεις,
πρόφρων ἄκουε· νῦν τε κατ' Εὐριπίδην
τὸ κοσμοσωτήριον ἐξερῶ πάθος,
ὅθεν μαθήσῃ πλεῖστα μυστικῶν λόγων,
ὡς ἐκ στόματος μητροπαρθένου κόρης,
μύστου πεφιλμένου τε τῷ Διδασκάλῳ.
Πρώτην γὰρ αὐτὴν νῦν παραστήσει λόγος
μητροπρεπῶς θρηνοῦσαν ἐν καιρῷ πάθους,
πότμου τε τὴν πρόφασιν ἀρχῆς ἀπ' ἄκρης
στένουσαν, ὡς φανεῖσαν ὄντως αἰτίαν
τοῦ μητέρ' αὐτὴν τοῦ Λόγου χρηματίσαι
καὶ νῦν ἰδεῖν πάσχοντα τοῦτον ἀδίκως·
εἰ μὴ γὰρ ἐσφάλημεν ἀπροσεξίᾳ,
οὐκ ἂν κατεκρίθημεν ἀρχῆθεν μόρον·
κἂν μὴ διεφθάρημεν ἑρπετοῦ δόλῳ,
μηδ' ἡ φθορά τ' εἰσῆλθε θηρὸς ἀπάτῃ,
καὶ πότμον ὑπέστημεν ἐνδίκῳ κρίσει,
ὡς μὴ τὸ κακὸν ἀδιάφθορον μένῃ,
οὐκ ἦν βροτωθῆναί τε καὶ τλῆσαι μόρον
τὸν ζωοποιὸν Δεσπότην, Θεὸν Λόγον,
ἀφθαρτίσοντα τὸ φθαρὲν φιλαγάθως,
καὶ ζωοποιήσοντα τὸ βροτῶν γένος·
μένοντος αὐτοῦ δ' ἀκενώτου τοῦ Λόγου,
ἥδ' οὐκ ἂν ἐκπέφηνε μήτηρ Δεσπότου,
καὶ τόνδε νῦν ὁρῶσα πάσχοντ' ἀδίκως,
θρηνοῦσ' ἀνηλάλαζε τετρυχωμένη.
Πρόσωπα γοῦν δράματός εἰσί μοι τάδε,
μήτηρ πάναγνος, παρθένος μύστης, κόραι
αἱ συμπαροῦσαι μητρὶ τῇ τοῦ Δεσπότου.

Sancti patris nostri Gregorii theologi argumentum dramaticum secundum Euripidem, complectens salvatoris nostri Jesu Christi nostra causa factam incarnationem et passionem quam subiit pro salute mundi.

Quum, auditis pie poematibus,
poetice nunc pia auscultare velis,
alacri animo excipe : nunc Euripidis more
mundi salutem eloquar passionem,
ex qua edisces plerosque mysticorum sermonum,
nempe ex ore matris virginis
et discipuli Domino dilectissimi.
Primam namque ipsam nunc exhibebit sermo,
ut matrem decet, lugentem tempore passionis,
de mortis origine mundo coæva
ingemiscentem, quæ mors vere causa exstitit,
cur ipsa parens Verbi nuncupata fuerit,
et nunc inique patientem hunc videat:
nisi enim in errorem socordia inducti fuissemus,
non a principio morte mulctati fuissemus ;
et ni corrupti fuissemus serpentis dolo,
neque labes introisset feræ deceptione,
neque mortem subiissemus justo judicio,
ne malum maneret integrum,
opus non fuisset ut homo fieret et mortem obiret
vitæ auctor Dominus, Deus Verbum,
incorruptibile redditurus benignitate sua id quod erat corruptum,] et vivificaturus omne hominum genus :
nisi se ipsum exinanisset Verbum,
hæc non exstitisset parens Domini,
neque eum nunc intuens tolerantem iniqua
lugens ejularet, vivido afflicta dolore.
Personæ igitur tragœdiæ mihi sunt hæ:
mater intacta, virgo discipulus, virgines
adsistrices parenti Domini.

Varietas scripturæ. Τοῦ ἐν ἁγ. etc. e codd. A. B. et uno Combefisii (B), cujus alius [C., recentissima manu] : Τραγῳδία εἰς τὸ σωτήριον πάθος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. — 20 τλῆναι B. a pr. m. — 22 ἀφθαρτίσαντα A. φιλανθρώπως A. et margo B. — 23 ζωοποιήσαντα A. βροτῶν γένος A. et γρ. B. βροτῶν ἅπαν B. Ed. — 25 ab Ed. abest ἄν. — 27 ἀνηλάλαζε A. B. ἀνηλάλαξε Ed. — 28 γοῦν τοῦ δρ. Ed. — 29 μύστις Ed.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΧΡΙΣΤΟΣ.
ΘΕΟΤΟΚΟΣ.
ΙΩΣΗΦ.
ΘΕΟΛΟΓΟΣ.
ΜΑΓΔΑΛΗΝΗ.
ΝΙΚΟΔΗΜΟΣ.
ΑΓΓΕΛΟΙ.
ΧΟΡΟΣ ΠΑΡΘΕΝΩΝ.
ΝΕΑΝΙΣΚΟΣ.

TRAGOEDIÆ PERSONÆ.

CHRISTUS.
DEIPARA.
JOSEPH.
THEOLOGUS.
MAGDALENE.
NICODEMUS.
NUNTII.
CHORUS VIRGINUM.
ADOLESCENTULUS.

ΘΕΟΤΟΚΟΣ.

Εἴθ' ὤφελ' ἐν λειμῶνι μηδ' ἕρπειν ὄφις,
μηδ' ἐν νάπαισι τοῦδ' ὑφεδρεύειν δράκων
ἀγκυλομήτης· οὐ γὰρ ἂν πλευρᾶς φύμα,
μήτηρ γένους δύστηνος ἠπατημένη
τόλμημα τολμᾶν παντάτολμον ἂν ἔτλη,
ἔρνους ἔρωτι θυμὸν ἐκπεπληγμένη,
θεώσεως πεισθεῖσα τυχεῖν αὐτόθεν·
οὐδ' ἂν φαγεῖν πείσασα καρποῦ τὸν πόσιν
τοῦ μηδὲ συμφέροντος αὐτίκα σφίσι,
λειμῶνος ἐξῴκιστο τοῦ πανολβίου,
λύμην κατακριθεῖσα καὶ λυγρὸν μόρον,
μήτηρ τέκνων τ' ἤκουσεν ἐκ δυσκοιτίας
μογοστοκοῦσ' ὠδῖσί τ' ἐμπαρειμένη,
ἱδρῶ τ' ἂν ᾤκει τήνδε γῆν ὀλεθρίαν
σὺν ἀνδρὶ καὶ τέκνοισιν ἀρᾶς ὑστάτης,
ἅπερ τεκεῖν ὥριστο λύπαις καὶ στόνοις,
διαδοχάς τε παραπέμπειν τῷ βίῳ,
διαλλαγάς τ' ἐντεῦθεν εὑρεῖν ἐξόχους·
οὐδ' ἂν γένος τ' ὄλωλεν ἀνθρώπων ἅπαν,
καὶ τὸν Δυνατὸν ἀλθανεῖν ἔπεισέ πως,
ἀγαθότητι δαπέδῳ κατιέναι,
καινῶς βροτωθῆναί τε καὶ τλῆσαι πάθος·
οὐδ' ἂν ἐγὼ πέφυκα μήτηρ παρθένος
καὶ νῦν ἔκλυον Υἱὸν ἕλκεσθαι κρίσει
οὐράνιον, γήϊνον, ἀκραιφνῆ γοναῖς,
ἰδεῖν τ' ἔφριττον τόνδε καθυβρισμένον,
ἄτερ δαλῶν φέρουσα, φεῦ, δεινὴν φλόγα,
ἣ σφόδρα μαιμάσσει με καὶ δονεῖ κέαρ,
καὶ καρδίαν δίεισιν ὡς ῥόπτρον μέγα,
ὡς νητρεκῶς ἦϋσε Συμεὼν γέρων,
τηλεσκόποις ὄμμασι πάντως προβλέπων.
Ἦ που μεγίστη γίνεται σωτηρία,

DEIPARA.

Utinam in horto nunquam repsisset serpens,
neque in hujus saltibus dolos struxisset draco
versipellis! neque enim e latere orta,
infelix humani generis parens, decepta
scelus minime audendum aggredi ausa fuisset,
rami cupidine animum perculsa,
divinitatis inde consortem se futuram persuasa:
neque, ubi conjugi suaserat ut comederet de fructu
nihil ipsis mox profuturo,
ex horto exulasset felici,
exitio damnata et sævæ morti,
mater filiorum audisset ex inauspicato toro
partu laborans, doloribusque prope immortua partus,
et sudore terram hanc exitialem incoleret,
cum sponso et natis exsecrationi extremæ devotis,
quos gignere decretum erat in luctibus ac gemitibus,
successionesque transmittere ævo,
eximiamque exinde invenire reconciliationem;
neque universum periisset hominum genus,
neque Omnipotentem mederi quodammodo coegisset,
pro sua benignitate in terram descendere,
et novo modo hominem induere, et subire mortem:
neque ipsa exstitissem virgo parens
et nunc audirem in judicio trahi Filium
cœlestem, terrenum, purum natalibus:
nec horrerem videns hunc injuriis lacessitum,
absque face ferens, eheu! diram flammam,
quæ vehementer me absumit, evertitque animam,
et pectus penetrat ingentis clavæ instar,
ut vere vaticinatus est Simeon senex,
e longinquo cernentibus oculis plane prospiciens.
Certe maxima salus est,

---

1. Personarum elenchus non est in codd. In B. ὑπόθεσις τοῦ δράματος. Προλογίζει ὑπεράγιος μήτηρ τοῦ ἀληθινοῦ ἡμῶν φωτὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. — 3. ἂν πλ. A. B. ἐκ πλ. Ed. Benedictinorum, quorum hæc nota est: « Legit Combefisius ἐκ et ἄν. Utraque lectio melior quam in Editis ἐν. » φύμα B. a sec. m. φῦμα A. B. Ed. — 5 παντότολμον Ed. ἂν ἔτλη A. ἀνέτλη B. Ed. — 7 αὐτόθι A. — 16 ἄτερ τεκ. B.— 17 σῷ βίῳ B. inter versus. — 19 γένος τ' A. τ' om. B. Ed. — 20 ἂν θανεῖν corrector recens in B. — 22 τλῆσαι A. et antiqua manus inter versus B. τλῆναι B. Ed. — 26 τοῦτον A. — 28 μαιμάνει A. δονεῖ A. et antiqua manus inter versus B. στροβεῖ

ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ,
τὰ πάντα συμφέρουσα τῷδ' ὥσπερ θέμις,
μηδὲ πρὸς ἄλλου πάρφασίν τινα κλύῃ,
ἀλλ' ἔστι συμφρονοῦσα γνησίῳ πόσει.
Νῦν δ' ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ καίρια,
αὐτῆς προδούσης ἄνδρα καὶ κράτους κλέος.
Φιλεῖ γὰρ ὕβρις ἡ πάλαι τίκτειν νέαν·
ἐκ δακρύων δάκρυα καταλείβεται,
ὧν οὔτε μέτρον οὔτ' ἀριθμός ἐστί τις·
κακῷ κακὸν γὰρ εἰς ἅμιλλαν ἔρχεται.
Ὅθεν πότνια φύσις ἠτιμωμένη
στένει κλάουσα συμφορὰς πεφυρμένας
διαδοχάς τε τῶν ἀφερτάτων πόνων,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
ἐπεὶ πρὸς ἐχθροῦ τ' ᾔσθετ' ἠδικημένη,
καὶ μητρὸς αὐτῆς πρωτοπήμονος βλάβῃ,
πατρός θ' ὑποκλίναντος οὖας μήτερι,
ὧν πάντες ἐσμὲν οἱ κατὰ χθόν' ἔκγονοι.
Βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δεξιᾶς
πίστιν μεγίστην, καὶ Θεὸν μαρτύρεται·
ἔγνω γὰρ ἡ τάλαινα συμφορῶν ὕπο,
οἷον πατρῴαν μὴ λιπεῖν ἐσθλὸν χθόνα·
στυγεῖ δὲ κόσμον, οὐδ' ὁρῶσ' εὐφραίνεται.
Εἰς τοῦτο γὰρ νῦν ἐκβέβηκ' ἀλγηδόνος,
ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε καὶ πόλῳ
λέξαι μολοῦσαν δεῦρο φύσεως βλάβας.
Οὔπω γὰρ ἡ τάλαινα παύεται γόων,
τίκτουσα μὴ τίκτουσα, φεύγουσ' αὖ τόκους.
Δύστην'· ἐμαυτὴν γὰρ λέγω, λέγουσα σέ,
τίκτουσαν οὐ τίκτουσάν, ὡς ὑπὲρ λόγον.
Τόκον γὰρ ἔγνων ἄτοκον, τί γὰρ φράσω;
πόνους φυγοῦσα καὶ φθορὰν νῦν καὶ πάλαι.
Οὐκ οἶδα τέρψιν οὐδ' ἐπίψογον φάτιν
τινὸς πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφάς·
οὐ γὰρ κορείης ἅμμα διέφθειρέ τις.
Καὶ παῖδα πῶς ἔτικτον; ὢ θάμβος μέγα!
ὑβρισμένον δὲ τανῦν πῶς οἴσω βλέπειν;
πόνους φυγοῦσα, πῶς ὀδυνῶμαι κέαρ;
Ἀνηλάλαξα πῶς πάλαι χαρᾶς ὕπο,
ὅτ' ἦλθεν εὐάγγελος ἀγγέλλων τόκον,
φράζων ἄλυξιν δυσμενῶν βροτῶν γένει,
καὶ γηθόσυνον χάρμα μοι φέρων μέγα;
λόγοις δὲ τοῦδ' εὔπλαγκτος οὐκ ἐφαινόμην,
πεισθεῖσα τῷ φέροντι θέσκελον φάτιν,

quando conjux a marito non dissidet,
ipsi morigerans in omni re, ut decet,
nec ab alio, quo decipiatur, quicquam audit,
sed genuino sponso unanima consentit.
Nunc vero omnia sunt inimica, et laborant præcipua,
ex quo suum prodidit virum et imperii decus.
Solet enim injuria vetus parere novam:
lacrimæ ex lacrimis stillant,
quarum neque modus neque numerus est;
malo enim malum in certamen venit.
Hinc alma natura dedecore confecta
ingemiscit deflens varia calamitatum agmina,
successionesque intolerabilium malorum,
omni tempore lacrimis contabefacta;
postquam et ab hoste animadvertit se injuria affectam,
et ipsius parentis primum damnum afferentis labe,
seductioneque patris aures accommodantis matri,
quorum omnes terram colentes sumus posteri.
Clamat jusjurandum, vocat dexteræ
maximam fidem, et Deum testatur.
agnovit enim misera per calamitates
quantum præstet patriam non deserere terram:
odit autem mundum, neque lætatur ejus aspectu.
Eo enim nunc perveni doloris,
ut mihi subierit desiderium terræ et cœlo
dicere huc procedentem naturæ damna.
Necdum enim misera desinit ejulare,
pariens, non pariens, rursum abnuens partum.
Infelix: me ipsam enim dico, dicens te,
quæ pariam, non pariam, partu qui rationem superat.
Nam partum sum experta sine partu, quid enim *aliud* dicam?] *ejus* doloris fugiens et corruptelæ nunc et olim.
Non voluptatem novi neque malum rumorem
ullo ab viro, *non* magis quam æris tincturas:
nemo enim virginitatis florem mihi sustulit.
Et filium quomodo edidi! O stuporem maximum!
Sed injuria affectum nunc quomodo potero intueri?
nullos partus dolores experta, quomodo corde crucior!
Quomodo exsilui olim præ gaudio,
quum auspicatus advenit nuntius nuntians partum,
indicans effugium ab hostibus mortalium generi,
miraque lætitia animum exhilarans meum!
Hujus autem verbis decipi minime videbar,
fidem adhibens ferenti cœleste oraculum,

B. Ed. — 31 τηλεσκότοις A. — 32 ἢ A. — 35 πρόφασιν σίγα κλύῃ A. — 36 σωφρονοῦσα A. — 39 εἰς πάλαι B. — 42 κακῷ γὰρ κακὸν Ed. — 44 κλαίουσα A. — 47 ἐχθροῦ τ' scripsi. ἐχθροῦ A. ἐχθροῖς B. Ed. — 48 πρωτοπήμονος A. B. « Reg. Med. » πρωτοπήμονι Ed. πλάνῃ B., altero antiqua manu inter versus notato. — 49 A. habet in serie, B. in margine. « Hunc versiculum, qui deerat in Editis, suppeditavit cod. Med. » οὖας omnes. — 50 οἱ καταχθόνειοι γῆς (sic) A., ut ἔκγονοι alius vocabuli sedem occupasse videatur. — 51 δεξιὰς A. B. — 53 ἔγνω καὶ ἡ Ed. — 55 κόσμος B. — 58 μολοῦσαν A. μολοῦσα B. μολούσας Ed. — 59 γόνων Ed. « *necdum parere desinit Eva.* » — 61 δύστηνον A. — 62 ὡς τίκτουσαν B., altero inter versus posito. — 64 νῦν καὶ πάλαι A. et inter versus B. « Reg. Med. sup. lin. » Editum νῦν καὶ πάθη. — 66 χαλκοῦ βαφάς A. et inter versus B. χαλκοῦ βάρος B. χαλκὸς βαφάς Ed. — 67 ἅμα A. B. — 69 ὅσω (sic) A. — 72 ἀγγέλων A. B. — 75 ἄπλακτος B. « ἄπλαγκτος Reg.

οὐχὶ σφάγιον μηνύουσάν μ' ἐκτεκεῖν,
ἀλλ' ὡς ἄνακτα γῆς τε καὶ παντὸς πόλου.
Ὅπως δ' ἔθυον καὶ γυναικείῳ νόμῳ
ψυχῆς τ' ἔπεμπον ἀλαλαγμὸν ἐκ μέσης,
λάσκουσ', ἀνευφημοῦσα τὴν ἀγγελίαν,
θυηφάγον φέρουσά τ' εὐώδη φλόγα,
οἵαν θύειν φράζουσιν οἱ θεοπρόποι,
ζῆλον ἔμπυρον, πνεῦμα συντετριμμένον,
ἔρωτά τ' ἀκάθεκτον ἔνθερμον λίαν,
ἃ θυσίαν οἴδαμεν εὐφημουμένην.
Καὶ πῶς στροβεῖ μου σπλάγχνα νῦν δριμὺ βέλος;
κἀγὼ μὲν ἦν πρόθυμος ἔννυχος δραμεῖν,
ἰδεῖν τε Παιδὸς ἣν κακωσύνην πάθοι·
αὗται δ' ἔπεισάν μ' ἡμέρας μίμνειν φάος.

ΧΟΡΟΣ.

Δέσποινα, νῦν πύκαζε σὸν δέμας τάχει.
Ἄνδρες τρέχουσιν ἐμφανεῖς πρὸς τὴν πόλιν.

ΘΕΟΤΟΚΟΣ.

Τί δ' ἐστι; μῶν τι δυσμενῶν ἀγγέλλεται
λόχος κρυφαῖος ἑστάναι κατ' εὐφρόνην;

ΧΟΡΟΣ.

Ἔννυχος ὄχλος ἐν θορύβῳ συρρέει,
στρατὸν πολύν τε πᾶσαν ἀν' ὄρφναν βλέπω,
λαμπτῆρας εἰσφέροντα καὶ πολλὰ ξίφη.

ΘΕΟΤΟΚΟΣ.

Καὶ μὴν πρὸς ἡμᾶς νῦν τις ἐν σπουδῇ ποδὸς
στείχει, νέον τι πρᾶγμ' ἔχων ἴσως φράσαι.

ΧΟΡΟΣ.

Ἴδω τι λέξει, καὶ τίν' ἀγγελεῖ λόγον. —
Πόντια, πότνα, σεμνοτάτη παρθένε,
αἶ αἶ, αἶ αἴ!
Πολλὴ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος
ἁγνὴ κέκλησαι, τῆσδε γῆς ὅσοι πέδον
ναίουσι, λαμπρὸν φῶς ὁρῶντες ἡλίου·
τανῦν δὲ τάλαιν', ἡ πάλαι μακαρία.

ΘΕΟΤΟΚΟΣ.

Τί δ' ἐστίν; ἦ πω τίς μ' ἀποκτεῖναι θέλει;

ΧΟΡΟΣ.

Οὔκ, ἀλλὰ Παῖς θνήσκει σὸς ὑπ' ἀλαστόρων.

significans me parituram esse eum non victimam,
sed ut regem terræ et totius cœli.
Et quomodo exsultabam et muliebri more
corde ex intimo hymnum emittebam,
exclamans, faustis ominibus prosequens nuntium,
nutritam suffimentis ferens fragrantem flammam,
quæ sacrificia præscribunt divini vates,
ardentem zelum, spiritum contritum,
et amorem contineri nescium, fervidissimum,
quod sacrificium novimus laudabile.
Sed quomodo versat mea viscera nunc truculenta cuspis?
ego quidem prompta eram etiam noctu currere
ut videam quæ mala patiatur Filius :
hæ vero mihi suaserunt diei exspectare lucem.

CHORUS.

Domina, nunc cito corpus tuum contege.
Viri conspicui currunt in urbem.

DEIPARA.

Quid vero est? numquid hostium nuntiatur
cohors occulta stare per noctem?

CHORUS.

Nocturna turba cum tumultu confluit;
exercitumque magnum per totum locum obscurum conspicor] faces et plurimos gladios inferentem.

DEIPARA.

Atqui ad nos nunc aliquis pede concito
venit, novam aliquam rem forsan habens quam nuntiet.

CHORUS.

Videbo quid loquatur, et quem ferat nuntium. —
Veneranda, veneranda, castissima virgo,
. heu, heu, heu, heu!
Celebris quidem inter homines, ac minime ignobilis,
casta vocaris *ab his* quicumque hanc tellurem
habitant, fulgidum videntes lumen solis,
nunc vero misera, quæ prius beata.

DEIPARA.

Quid igitur? num quis me vult occidere?

CHORUS.

Nequaquam, sed tuus Filius scelestorum manu perit.

Med. » — 79 ὅπως scripsi, quo recentiores post πῶς utuntur : πῶς (71)... ὅπως δὲ..., et similiter v. 1123, ποίοις... οἵοις τε... Omnes ὅμως, quod valde coutortam explicationem habet. — 80 τ' nou delendum. — 81 λάσκουσ' A. « Reg. Med. » λάκουσ' B. Ed. — 84 ἔμπυρον glossatoris vel correctoris est. Nolim διάπυρον, quanquam sex, si recte memini, certa exempla sunt solutionum in Chr. Pat. — 84 ἔρωτά τ' ἀκάθεκτον B. ἔρωτ' ἀκάθεκτον A. εὐκάθεκτον Ed. — 88 μὲν ἦν inter versus habet B. κἀγὼ μὲν οὖν πρ. A. κἀγὼ πρόθ. B. Ed. In fine versus θέλω addunt Editi, quod codices ignorant. — 90 ἡμέραν A. — 91 τεύχει A., quod librarii est sentientis quid posceret πύκαζε, non ex Euripide Rhes. 90. — 92 Deiparæ tribuitur invitis codicibus. ἐμφανοῖς (sic) πρὸς τὴν πόλιν A., recte. Conf. v. 97, εἰσφέροντα. Confluunt in urbem ad judicium. ἐμφανεῖς ἔξω πύλης B. Ed., ex interpolatione. — 93 μῶν τι A., quod recte dicitur. (μῶν τις ap. Eurip.) μῶν τε B. μῶν γε Ed. — 96 πολύν τε A. B. πόλιν τε Ed. ἀνόρφναν A. — 98 καὶ μὴν A. καὶ νῦν B. Ed. — 100 Deiparæ tribuebatur. Recte codices. Deinde Chorus sive potius mulier de choro refert quæ audierit ex homine quem poeta loquentem exhibere nolebat. — 101 πότνια πότνια B. « Reg. Med. » σεμνοτάτα A. — 102 αἶ B. a sec. m. (C. semper αἴ.) — 104 τῆσδε σῆς ὅποι A. — 107 ἤ πω A. B. ἦ που

ΘΕΟΤΟΚΟΣ.

Οἴμοι, τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.

ΧΟΡΟΣ.

Ὡς οὐκέτ' ὄντος Υἱέος φρόντιζε δή.

ΘΕΟΤΟΚΟΣ.

Ὦ δεινὰ λέξασ', οὐχὶ συγκλείσεις στόμα
καὶ πᾶν μεθήσεις ἀπρεπὲς ῥῆμ' ἐκφέρειν;
τὸν ὄντ' ἀεὶ γὰρ μηκέτ' εἶναι πῶς λέγεις;
Εὔφημος ἴσθι, κἄν τι σοι χρεία λέγειν,
λέγ' ὡς προσήκει, μηδ' ἀτιμάσῃς Θεόν.
Γονᾶς γὰρ ἀπὸ χρυσέας ἔβλαστέ μοι·
καινὸν δὲ πίτνειν αἷμα ὑπ' ἀνέρων Θεοῦ·
θανεῖν τὸν ἀθάνατον, οὐκ ἔχει λόγον.
Ἔτικτον αὐτὸν, οἶδα δ' ὡς ἐγεινάμην.

ΧΟΡΟΣ.

Ὦ τλῆμον, οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας,
καὶ τούσδε κινεῖς κἀναμοχλεύεις λόγους.
Ἠοῦς φανείσης, Υἱέος γ' ὄψει μόρον·
ὡς πάννυχον κρίνουσιν οἱ μιαιφόνοι.
Καίτοι δέδορκ' ἐνθάδε τῶν Παιδὸς τινὰ
στείχονθ' ὀπαδῶν, πνεῦμά τ' ἠρεθισμένον,
σπουδῇ πρὸς ἡμᾶς τόνδ' ἰθύνοντα δρόμον·
δείκνυσι δ' ὥς τι καινὸν ἀγγείλῃ παρών.

ΘΕΟΤΟΚΟΣ.

Τί δήποτ' ἄρα σημᾶναι νέον θέλει;

ΧΟΡΟΣ.

Ἴδω τί λέξαι πνευστιῶν οὗτος θέλει.

ΑΓΓΕΛΟΣ.

Ὀττοτοτοί!
καλλίστα, πότνα, σεμνοτάτη Μαρία,
αἶ αἶ, αἶ αἴ!
ἀπωλόμεσθ' οὐ δυσμενῶν τάχ' ὑπό του.

ΘΕΟΤΟΚΟΣ.

Τίνα θροεῖς αὐδάν; τίνα βοᾷς λόγον;
ἄγ' εἰπὲ, τίς φοβεῖ σε φήμ' αὖθις νέα;

ΧΟΡΟΣ.

Ἔκλυες ὦ, ἄϊες ὦ, ἤκουσας ὃς
ὃς Παῖδα σὸν προὔδωκε τοῖς μιαιφόνοις;

ΘΕΟΤΟΚΟΣ.

Πρὸς τοῦ τόδ' ἄλλο καινὸν ἀγγελεῖς κακόν;
τίς ἐστι; μῶν τις τῶν φιλεῖν ἠλπισμένων;

DEIPARA.

Hei mihi! quid dices? ut me perdidisti, mulier!

CHORUS.

De Filio tuo tanquam mortuo cogita.

DEIPARA.

O atrocia locuta, nonne claudes os
et omnem omittes indecorum sermonem loqui?
Æternum namque, quomodo jam non exsistere ais?
Bona verba loquere; et si quid loquendum habes,
dic ut decet, neu Deum injuria afficias.
Ex stirpe enim aurea mihi germen effloruit;
novumque id esset, ut Dei cruor efflueret manu mortalium:
fieri non potest ut immortalis moriatur.
Ipsum genui, novi autem quomodo genuerim.

CHORUS.

O infelix, nescis quo malorum veneris,
et hosce moves atque amoliris sermones.
Quum aurora illuxerit, Filii mortem videbis:
totam enim noctem in judicio absumunt scelesti.
Et jam video hic unum e Filii
venientem famulis, spiritu irritato (*anhelo*),
properanter suum cursum ad nos dirigentem;
vultuque profert se quid novi jam nuntiaturum.

DEIPARA.

Quid igitur novi significare cupit?

CHORUS.

Videam quid eloqui velit hic anhelus.

NUNTIUS.

Papæ! hei!
Eximia, veneranda, castissima Maria,
eheu, eheu, eheu, eheu!
periimus, non hostium, ut videtur, ab aliquo.

DEIPARA.

Quam edis vocem? quem profers sermonem?
Age, dic, quis te novus rumor iterum terret?

CHORUS.

Audisti, eheu! audisti, eheu! audisti quis
quis tuum Natum sceleratis prodidit?

DEIPARA.

A quo hoc aliud novum (*proditionis*) annuntiabis malum?
Quis est? num quis ex iis qui amare eum credebantur?

Ed., quod fortasse relinquendum erat. — 109. Incipit hic eximius codex C. — 110 υἱέος A. C. υἱέως B. Ed. Eodem modo v. 122. — 111 ὦ A. σὺ κλείσεις idem. — 112 πᾶν με μεθήσεις C. ῥῆμ' ἐκφέρειν tres. ῥῆμα φέρειν Ed. — 113 πῶς μηκέτ' εἶναι λέγεις A. — 114 τισι A. τις σοι B. — 117 πίτνειν A. C. πιτνεῖν B. Ed. αἷμ' ὑπανέρθεν (sic) θεοῦ A. — 118 τὸν ἀθ. tres. « Reg. » τὸ ἀθ. Ed. λόγος A. — 120 ὧν κακ. A. — 122 τ' A. — 125 στείχονθ' ὁπαδῶν A. C. στείχοντ' ὀπ. B. Ed. — 127 ἀγγείλῃ A. C. ἀγγέλει B. ἀγγέλλει Ed. — 128 ἆρα C. σημᾶναι A. — 130 Νεανίσκος A. Ὀττοτοτοί tres. ὀττοτοί Ed. — 131 κάλλιστα A. σεμνοτάτη C. σεμνοτάτα celeri. Μηρία A. — 132 αἶ B. a sec. m. Post v. 130 ponit A. — 134 αὐδᾶν A. — 137 ὃς om. A. — 138 πρός τοῦ· τὸ δ' ἄλλο καὶ νῦν, ead. m. mutatum in καινὸν, C. πρὸς τοῦτο τόδ' ἄλλο A. πρὸς τοῦτο δ' ἄλλο B. Ed. — 139 μῶν τε B.

ΧΟΡΟΣ.

Ἀργυροδέκτης, δύστροπος μύστης, λέγει,
ἀργυροφύλαξ, ἀργυροτρώκτης πλέον.

ΘΕΟΤΟΚΟΣ.

Οἴμοι, τόδ' οἷον ἄλλο πρὸς κακῷ κακὸν,
εἰ τοῖς φιλεῖν δοκοῦσι κατειργάσμεθα.
Ἦ που τετόλμηκ' ἔργον ἄτολμον τάλας;
τί δ' ἐγκαλῶν προὔδωκε παντευεργέτην;
ἢ τίς λαβὴ δράματος ἦν τῷ μαινόλῃ;

ΧΟΡΟΣ.

Ἄκουε τοῦδ', ὅς σοι τρανῶς πάντ' ἀγγελεῖ.

ΑΓΓΕΛΟΣ.

Ἄκουε, τλῆμον, ἡ τὸ πρὶν πανολβία,
ἄκουσον οὕς σοι δυστυχεῖς φέρω λόγους.

ΘΕΟΤΟΚΟΣ.

Αἶ αἶ, διοιχόμεσθα· δῆλος εἶ λόγῳ·
κακῶν γὰρ ἥκεις, ὡς ἔοικεν, ἄγγελος.

ΑΓΓΕΛΟΣ.

Κακῶν μὲν, ἀληθῶν δ' ὅμως· τί γὰρ φράσω;
Ἐπεὶ τὸ πάσχα καινὸν, ὡς ἔφη, φάγοι,
μύσταις ἄριστον παραθεὶς, δεῖπνον μέγα,
δείξας δ' ἐν αἰνιγμοῖσι τὸν λογοπράτην,
ἔπειτα νίψας τῶν μαθητῶν τοὺς πόδας,
ἔξεισιν, ὡς εἴθιστ', ἐλαιῶν εἰς ὄρος,
εἰπών τε μύσταις πάνθ' ἅπερ τανῦν πάθοι,
καταρτίσας πάντας τε μυσταγωγίαις,
πολλοῖς ξὺν ἄλλοις καὶ τάδ' εἶπε πρὸς Θεόν·
« Πάτερ, μέγιστον νῦν πάρασχέ μοι κλέος·
« τὸ παρὰ σοὶ γὰρ μὴ λιπὼν ποτὲ κλέος,
« εἰς μεῖζον ἥξω, δυσμενῆ κτανὼν βροτῶν·
« ἔθνη τε διδοὶς πάντ' ἔχοντι πρὸς σέθεν·
« λαβὼν δὲ πάντας, χὡς ἀριστεῖον σφέων
« ὑπερκρεμασθεὶς, αὖγε σαῖν χεροῖν νέμω.
« Κυδρούμενος δὲ τοῖς ἀριστεύμασί μου,
« κάλει φίλους εἰς δαῖτα. Μακάριος εἶ,
« μακάριος τοιάδε διειργασμένος. »
Ὁ δ' αὖθις ἀφίησιν ὡς βροτῶν ὄπα,
δηλῶν κλεϊσμὸν αἰθεροδρόμῳ βοῇ·
« Καὶ πρὶν κλεΐσας, νῦν κλεΐσω σε πλέον. »
Ἐπεὶ δὲ μύσταις ταῦτ' ἐνηχήθη ξένως,
ἥκει πρὸς αὐτοῖς ἐν τόπῳ τοῦ χειμάρρου

CHORUS.

Qui pecuniam accipiebat, pravus discipulus, ait,
pecuniæ custos, imo potius pecuniæ vorax.

DEIPARA.

Hei mihi! quale hoc aliud malum ad malum accessit,
si ab ipsis, qui videntur amici, conficimur?
Anne ausus est miser hanc turpissimam rem?
Quo crimine autem omnium bonorum largitorem prodidit?
aut quam facinoris ansam furibundus arripuit?

CHORUS.

Audi hunc, qui tibi aperte omnia referet.

NUNTIUS.

Audi, o misera, quæ prius eras felicissima,
audi, quos infelices tibi fero sermones.

DEIPARA.

Hei, hei! periimus, significas hoc oratione:
nam, ut videtur, venis nuntius malorum.

NUNTIUS.

Malorum quidem, sed verorum: quid enim dicam *aliud*?
Postquam pascha novum, ut ipse dixit, ederat,
discipulis prandium apponens, grandem cœnam,
designaratque ambagibus Verbi proditorem,
ac deinde abluerat suorum discipulorum pedes,
egreditur, juxta morem suum, ad montem olivis consitum;
quumque suis omnia sibi nunc perpetienda enuntiasset,
cunctosque sacro firmasset mystico,
inter plura alia, ad Deum hæc precatus est:
« Pater, maximam nunc præbe mihi gloriam;
« qui eam quam apud te habeo, nunquam reliquerim glo-
« riam,] ad majorem evadam, hoste mortalium perempto:
« omniaque ex te possidenti da mihi gentes:
« quumque omnes acceperim, et tanquam spolium opi-
« mum ex iis] suspensus fuerim, tuis iterum manibus re-
« pendam.] Gloriosior effectus ex præclaris facinoribus
« meis,] invita amicos ad convivium. Beatus es,
« beatus, qui talia perfeceris. »
At ille rursus tanquam mortalium emittit vocem,
testatus gloriam clamore ætherem percurrente:
« Jam te glorificavi, nunc amplius te glorificabo. »
Quum autem hæc insolito modo discipulorum aures per-
culissent,] venit illis comitibus ad locum torrentis

— 140 ἀργυροδείκτης B. — 142 πρὸς κακῶν B. — 143 ἐν τοῖς B. — 145 παντευεργέταν A. — 147 ὃς σοὶ A. — 149 ἄκουσον A. C. ἄκουε B. Ed. — 150 ἢ αἶ C. αἶ αἶ B. διοιχόμεσθα B. διοιχόμεθα ceteri. εἶ τῷ λόγῳ A. — 153 τὸ om. A. — 155 δείξας δ' ἐν αἰνιγμοῖσι A. C. δείξας τ' ἐν αἰνίγμασι B. Ed. τὸν λογοπράτην C. τὸν αὐτοῦ πράτην ceteri. — 156 νείψας C. — 158 εἰπών τε μύσταις πάνθ' ἅπερ τανῦν A. C. εἰπὼν τοῖς μ. πάνθ' ἃ νῦν B. et Editi, εἰπών τε μ. Benedictini ex conjectura. — 162 γὰρ om. A. — 164 διδοὺς A. — 166 ὑπὲρ κρ. C. — 167 κυδνούμενος A. — 169 διειργασμένους B. — 170 ὅδ' codices, ut solent. Iidem consensu ὡς βροτῶν ὄπα, ex Joanne XII, 28: Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ, « Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω. » Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας, ἔλεγε βροντὴν γεγονέναι. Ἄλλοι ἔλεγον· Ἄγγελος αὐτῷ λελάληκεν. Apparet non scripsisse auctorem quod editur ὡς βροντῶν ὄπα, haud dubie βροντῆς dicturum. — 171 αἰθεροδρόμῳ tres. αἰθεροτρόμῳ Ed. « *cælum commovente.* » — 174 πρὸς αὐτοῖς C. B. πρὸς αὐτοὺς A. Ed. χειμάρρου C. — 176 νύκτωρ μέσον tres. νυκτῶν

πρὸς κῆπον, ἧχι πολλάκις συνήγετο,
ὃν οὐδ' ὁ πράτης ἀγνοῶν, νύκτωρ μέσον
ἔφθασεν ὄχλον τῶν μιαιφόνων ἄγων,
ξιφηφοροῦντας καὶ φονῶντας ἐν θράσει·
ὃς δὲ προσιὼν ὡς φίλος Διδασκάλῳ,
Ῥαββὶ προσειπὼν χαῖρ', ἐφίλει δυστρόπως.

ΘΕΟΤΟΚΟΣ.

Φεῦ, φεῦ, τί χεῖρον τοῦδε τολμήσειέ τις;
Τί γοῦν πρὸς αὐτὸν ἀντέφησε Παῖς ἐμός;

ΑΓΓΕΛΟΣ.

Οὐκ εἶπεν οὐδὲν, πλὴν « Ἑταῖρ', ἐφ' ᾧ πάρει; »
Ἄφαρ δ' ἔβαλον χεῖρας οἱ μιαιφόνοι·
ἄμμες δ' ἀφέντες ἄλλος ἄλλῃ φεύγομεν.
Πέτρος δ' ὁ κλεινὸς καὶ λόγοις ἀπείπατο·
μόνος δ' Ἐπιστήθιος εἵπετ' ἀτρέμας.
Ἔδοξα δ' αὐτὸς ὑπό του πεπυθέναι
σιγῇ λέγοντος ὡς πρὸς αὐτὸν ἠρέμα
τὸν δύστροπον πράτην γε τοῦ Διδασκάλου·
« Τῆς ἀσεβείας! ὦ τάλ', οὐ φοβῇ Θεόν;
« οὐ θεσμὸν αἰδῇ τῶν βροτῶν τῆς οὐσίας,
« Ἀδάμ τε τὸν σπείραντα γηγενῆ στάχυν,
« καὶ πατριάρχας ἐκλελεγμένου γένους;
« μύστης φανεὶς σὺ συμμαθητὰς αἰσχύνεις,
« τὸν μυσταγωγὸν, φεῦ, προδοὺς ἀργυρίου,
« προὔδωκας αὐτὸν εἰς φόνον μιαιφόνοις.
« Οὐκ εἶπεν; οὐ σῆς προὐνοήσατο φρενὸς,
« σκοπεῖν ἐφ' οἷσι νῦν ἑκὼν ἀλγύνεται;
« σὺ δ' οὐκ ἀνέσχου· τοιγαροῦν γνοίης τάχει.
« Εὖ δ' ἴσθι, πατρὸς εὐσεβὲς θάλπει γένος.
« Εἰ μὴ γὰρ ὅρκοις Ἀβραὰμ ἐπεσχέθη,
« οὐκ ἂν ποτ' ἔσχε μὴ τάδ' ὑπεξιέναι,
« κἀντεῦθεν ὑμῖν ἀποδοῦναι τὴν δίκην.
« Δοκεῖς γὰρ αὐτὸν τάδ' ὑποστῆναι πάθη,
« εἰ μή τι κερδαίνοντα κἀντεῦθεν μέγα;
« Νῦν δ' ἐκ χθονὸς μὲν ἔστ' ἂν ἔρχηται πάλιν,
« καινῶς ἄνεισι, σίγα δ' ἕξεται κρίσιν,
« ἐρῶν καθ' ὑμῶν Πατρὶ σὴν ἁμαρτίαν
« λαοῦ τε τοῦδε μαινόλου τολμηρίαν,
« ὡς καὶ προεῖπε Δαβίδου γλώσσῃ πάλαι,
« οὐκ ἀγνοοῦντι καὶ πρὸ τῆς τολμηρίας·
« πλήσει τε πᾶσαν γαῖαν εὐδόξων λόγων

in hortum, quo sæpius se conferebat;
quem haud nesciens venditor nocte intro
prævertit agmen scelestorum ducens,
sicarios et cædem spirantes insolenter;
qui et accedens, ut amicus, ad Magistrum,
dicens : *Ave, Rabbi*, eum osculatus est perfide.

DEIPARA.

Eheu, eheu! quid atrocius quis ausus fuerit?
Quid igitur ad hunc respondit Filius meus?

NUNTIUS.

Nihil dixit, nisi « Amice, ad quid venisti? »
statimque ipsi manus injecerunt scelerati.
Nos autem, eo relicto, alius alio effugimus.
Petrus inclytus ipsum etiam verbis abnegavit;
solus qui pectori incubuit (*Joannes*) secutus est quiete;
ipse autem visus sum ex aliquo audisse,
qui submissa voce et veluti solum alloqueretur
perditum Magistri sui venditorem :
« Vah! impium scelus! o miser, non times Deum?
« neque vereris legem generis humani,
« neque Adam terrigenæ spicæ satorem,
« neque patriarchas electi generis?
« Discipulus habitus, tuos sodales dedecore afficis;
« mysteriorum magistrum, eheu! pecunia venditum
« ad necem sceleratis prodidisti.
« Nonne dixit? nonne sollicitus de anima tua monuit
« ut dispiceres ea quorum gratia nunc volens in dolore
« versatur?] Tu vero non sustinuisti; igitur sentias brevi.
« Certo vero scias, *ille* patris pium fovet genus.
« Nisi enim Abrahæ jurejurando fuisset retentus,
« nunquam hæc inulta sivisset,
« et hinc vobis pœnam irrogasset.
« Anne enim putas ipsum talia passum fuisse,
« nisi magnum exinde perspexisset emolumentum?
« At nunc, quando ex terra redierit,
« novo modo in cœlum ascendet, silentio continebit judi-
« cium,] declarans adversum vos Patri tuum scelus
« plebisque hujus cruentæ audaciam,
« sicut olim Davidis ore prædixit,
« haud ignoranti vel priusquam hæc facinora evenirent;
« et implebit totam terram claro fidei præconio,

μέσον Ed. Μέσον ἄγειν, Introducere, et similia plurima apud Byzantinos. — 177 τὸν μιαιφόνον B. ἄνον (sic) A. pro ἄγων. — 178 φονῶντας C. .ονῶντας A. prima litera evanida. φρονῶντας B. φρονοῦντας Ed. — 179 ὃς δὲ C. In A. hoc evanidum, inscripsit manus recens ὣ καὶ. B. Ed. ὃς καὶ. — 180 ῥαββὶ A. C. ῥαμβὶ B. Ῥαβὶ Ed. χαῖρε, φίλει C. — 184 ἔβαλλον C. — 185 ἄμες C. ἄμμες et ἄλλος ἄλλου A. — 186 ἀπείπατο A. C. ἀπείπετο B. Ed. — 188 ἔδοξα δ' C. ἔδοξε δ' ceteri. — 189 ἠρέμω C. — 190 τε τοῦ A. — 191 ὦ A. — 192 τὸν βρ. A. — 194 ἐκλελεγμένους A. — 197 ἐς A. — 198 προὐνοήοατο C. B. προνοήσατο A. Ed. — 199 νῦν om. B. — 201 εὖ δ' A. C. εὖ γ' B. Ed. πατρὸς δ' C. — 202 εἰμὶ γὰρ C. Ἀβραὰμ codices ubique. Ἀβραὰμ Ed. ἐπεσχέθη C. ἀπησχέθη (sic) A. ὑπεσχέθη B. Ed. — 204 ὑμῖν C. Ed. ἡμῖν A. B. — 206 κερδάνοντα A. — 207 δ' ἐκθονὸς superscripto χ A. δ' ἐχθονὸς (sic) C. μὲν om. A. ἔστ' ἂν ἔρχηται A. C. ὅταν ἔρχηται B. ὦκ' ἂν ἔρχεται Ed., cum hac nota : « melius quam in Edit. ἔρχηται. » — 208 ἄνεισι, σίγα δ' ἕξεται A. C. ἄνεισι. Σίγα δέξεται B. Ed. κρίσις A. — 209 ἐρῶν καθ' ὑμῶν C. Ed. ἡμῶν A. ἀρκῶν ἀθυμῶν B. « ἀλγῶν, ἀθυμῶν Reg. » — 211 Δαβίδου C. Δαυίδου ceteri. Est Psalm. 108, indicante Combefisio. — 212 ἀγνοῶντι Ed. — 213 εὐδόξων C., ut omnes v. 935. Ceteri ἐνδόξων.

« ἔργων τε κλεινῶν, μυρίων θαυμασίων
« ὄψεσθε δ' ἐν Πατρὸς μολοῦντ' αὖθις κλέει,
« κρίσιν φέροντα ζῶσι καὶ τεθνηκόσι,
« καὶ πᾶσι παρέχοντα τὸ κατ' ἀξίαν.
« Πῶς γοῦν προσόψει σύ τε καὶ μιαιφόνοι,
« ἢ ποίαν οὐκ ἐκτίσετ' ἔνδικον τίσιν;
« πλὴν καὶ πρὸ τοῦδε τίσετ' ἔνδικον τίσιν,
« εἰ μὴ χέρας νίψεσθε τὰς μιαιφόνους·
« ἅς, ἢν θέλητε κἂν τανῦν ξυνιέναι,
« αὐτὸς ῥυτοῖς νασμοῖσιν ἀπομόρξεται.
« Ἦ σῆς γε τόλμης νῦν μάθῃς γεγευμένος,
« σὺν σοὶ δὲ καὶ πᾶς τῶν ἀλαστόρων ὄχλος.
« Νῦν δ' εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν,
« εἰ μή τι πάθῃς, ὧν φόβος πολὺς κρατεῖ,
« κἀγὼ προφήτης τῶν λόγων γενήσομαι.
« Ἀλλ' ἐκποδὼν ἄπιθι, καὶ σαυτοῦ πέρι
« φρόντιζε· ταὐτοῦ δ' αὐτὸς εὖ γε θήσεται.
« Σὺ δ', ὥσπερ εἰκὸς, κατθανῇ κακὸς κακῶς,
« πρῶτα κρεμαστοῖς ἐν βρόχοις ἠρτημένος,
« πήδημ' ἐς ᾅδην κραιπνὸν ὁρμήσας τάχος,
« λύπῃ παχνωθεὶς, ὡς προδοὺς ἀργυρίου,
« καὶ νᾶμα πυρὸς παμφάγου σε δέξεται.
« Οὐ γὰρ θέλεις νῦν ἐκφυγεῖν τιμωρίαν·
« καὶ τῶνδε τεύξῃ, προὐννέπω δέ σοι τάδε·
« οὔ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ·
« οὐ νεκρεγέρτου νεκρέγερσιν κατίδῃς.
« Ἐς γὰρ τοσοῦτον μωρίας ἀφικάνεις,
« ὥστ' ἐξὸν αὖθις δείν' ἑλεῖν βουλεύματα,
« καὶ πάντ' ἀφέντα προσπεσεῖν Διδασκάλῳ,
« κἀκ τῶν βλεφάρων θερμὰ χύσαι δάκρυα,
« βρόχον κρεμαστὸν ἐξανάψεις ἀγχόνης,
« ψυχὴν ἀφεῖναι τοῖς βροχώμασι τρέχων.
« Ὅμως δὲ κἂν τοῖσδ' οὐκ ἀπειρηκὼς, σέ πως
« σώσει, τὸ σόν γε προσκοπούμενος κέαρ·
« οὐ γὰρ δύναιτ' ἂν ἀγαθὸς που μὴ μένειν.
« Ἀλλ' οὔ σε μὴ θέλοντα κερδᾶναι θέλει·
« (οὐ γὰρ νόμον τίθησιν ἐν βροτοῖς βίαν·
« ἥκιστα τοῦδε λῆμ' ἔφυ τυραννικόν·)
« ῥαγεὶς γὰρ αἰσχρῶς πάγκακον ῥήξεις κέαρ.
« Ἀλλ' οὔτι ταύτῃ ταῦτα, μή σύ που δόκει·
« ἔτ' εἰς ἀγῶνας σύ τε καὶ μιαιφόνοι,
« καὶ πᾶσι συνδράσασιν οὐ σμικροὶ πόνοι·

« operibusque magnificis, innumeris miraculis :
« videbitis autem in Patris gloria iterum venientem,
« judicium ferentem vivis et mortuis
« et omnibus secundum merita sua rependentem.
« Quomodo igitur ipsius vultum sustinebitis tu et scelesti,
« aut qualem justam non exsolvetis pœnam?
« Imo vel ante eum diem justam solvetis pœnam,
« nisi manus sanguine infectas abluetis,
« quas, si velitis nunc etiam intelligere,
« ipse liquidis fluentis abstergeret.
« Sane tu, ubi tuam degustaveris audaciam, intelliges,
« et tecum omnis exsecrandorum cohors.
« Nunc vero si manere oportet, mane ad unum diem,
« si non patiaris quid eorum, quæ vehementer metuo,
« et ego hosce sermones vaticinatus fuero.
« Verum de medio secede, et de te ipso
« sis sollicitus : sua ipse recte constituet
« Tu vero, ut decet, male malus occides,
« primum pendulis e laqueis suspensus,
« saltu incito in inferos statim ruens,
« mœrore constrictus,ut qui pecunia prodideris,
« et fluvius ignis omnivori te excipiet.
« Neque enim vis nunc effugere pœnam.
« Et hæc consequeris, et hæc tibi prædico :
« non te postera lux dei videbit :
« neque suscitatoris mortuorum suscitationem conspicies :
« eo enim insaniæ devenisti,
« ut quum liceat de novo fortia capere consilia,
« et omnibus relictis, ad genua Magistri procidere,
« et calidas ex oculis profundere lacrimas,
« laqueum pensilem nectes ad suspendium,
« animum dimittere properans per laqueos.
« Nihilominus ne in his quidem spe abjecta, tibi salutem
« præstabit, tuum, *si pœnitentiam agat*, animum inspi-
« ciens :] neque enim benignitate sua potest excidere.
« Verum te nolentem non vult lucrari;
« (neque enim vim pro lege sancit hominibus;
« minime hujus animus tyrannicus est :)
« crepans enim turpiter pessima rumpes viscera.
« Verum minime eatenus hæc erunt, (noli hoc credere,)
« adhuc te et sceleratos certamina manent,
« et omnes conscios mala gravissima,

— 217 fort. τὰ κατ', quamquam κατόπιν v. 2204 et pauca alia sic producta. — 219 οὐ κεκτήσαιτ' ἔνδικον κτίσιν A. — 220 omittit C. τίσσετ' A. — 221 νίψασθε A. — 222 κἂν τὰλκῦν (sic) A. — 223 αὐτὸς ὡς τοῖς A. νασμοῖσιν tres. νάμασι Ed. ἀπομάρξεται C. — 224 ἢ tres. — 226 μίμνασ (sic) ἐφ' C. — 227 εἰ μή tres. ἢν μή Ed. — 229 ἄπηθι C. — 230 εὖ γηθήσεται A. C. — 231 κακῶς κακὸς A. — 232 πρῶτα A. C. et inter versus B. πρῶτος B. πρώτως Ed. κρέμαστ' A. — 233 τάχος tres. « Reg. » τάχα Ed. — 234 πυκνωθεὶς B. inter versus. — 236 τιμωρίας A. B. — 237 προυννέπω B. προυνέπω C. Ed. προυνέπεταί σοι A. — 238 δέξεται B. addito γρ. ὄψεται. — 239 νεκραγ. B. bis. κατίδῃς tres. κατίδοις Ed. — 241 mirum compendium in A. quasi ὥστ' εἶεσὸν. C. δείν', ceteri δεῖν'. — 242 margo B. γρ. προσδραμεῖν. « Reg. Med. προσδραμεῖν. » — 243 κἀκ τῶν A. C. καὶ τῶν B. Ed. χῦσαι A. Ed. — 244 ἐξανάψῃς B. — 247 τοσόνγε A. τοσόνδε B. — 249 κερδάναι B. — 251 τοῦδε λῆμ' (λῆμμ' Ed.) ἔφυ Euripides. τοῦδ' ἔφυ λῆμμα tres. « Reg. » — 253 ταῦτα om. A. σύ που C. σοί που ceteri. δοκεῖ A. C. — 254 scribendum videtur ἔτ' εἶσ' ἀγῶνες σοί τε καὶ μιαιφόνοις. — 256 glossa in B. : αἴσθησιν λάβοι. — 257 θανόντες... δεδορκό-

« αἴσθοιτο δ' αὐτῶν δῆμος ὑβριστὴς ἅπας,
« ἤτοι θανόντες, ἢ φάος δεδορκότες,
« οὓς νᾶμα πυρὸς αὖθις ὑποδέξεται.
« Ὀρθῶς λέλεκται μῦθος ἀψευδὴς ὅδε·
« ἄκου', Ἰούδα, σῶν κακῶν κατάστασιν.
« Καίτοι προκόψω γ' οὐδὲν ἢ σκῆψιν μόνην·
« οὐ γὰρ Θεός σε σωφρονεῖν ἀναγκάσει·
« ἐν τῇ προαιρέσει δὲ καὶ γνώμῃ βροτῶν
« τὸ σωφρονεῖν ἔνεστιν εἰς τὰ πάντ' ἀεί. »
Ταῦτ' εἶπεν οὐκ οἶδ' ἄγγελός τις ἢ βροτὸς
πρὸς αὐτὸν, ὡς εἴρηκα, τὸν λογοπράτην.

ΘΕΟΤΟΚΟΣ.

Ὦ γαῖα μῆτερ, ἡλίου τ' ἀναπτυχαὶ,
οἵων λόγων ἄρρητον εἰσήκουσ' ὄπα.
Τάχ' ἐξ ὀπαδοῦ δρᾶμα, Παῖ, κατηρτύθη,
ὃν πολλάκις ἔδειξας αἰνιγμῷ φίλοις·
οὐ γάρ σ' ἔλαθε τῶνδ' ὃς αἴτιος κακῶν.
Ὦ παγκάκιστε, τοῦτο γάρ σ' εἰπεῖν ἔχω,
σὺ ταῦτ' ἔδρασας, σὸν προδοὺς εὐεργέτην·
σὰ ταῦτα, δαῖμον· τίς γὰρ ἂν ἄλλος ποτὲ
ἔδρασεν ἢ βούλευσε δυσμενὴς ἀνήρ;
Ὄλοιθ' ὁ δράσας· ἡ δίκη δ' ἐπίσταται,
αἰσχρός τε μύστης ἀξίαν τίσει δίκην.
Ἀργυραμοιβὲ, ποῦ συνήδῃ σῷ δόλῳ;
ἆρ' εἰσέτι ζῇς, δεινὰ ταῦτ' εἰργασμένος;
οὐδ' ὑπὸ γῆς τάρταρα σὸν κρύπτεις δέμας;
δεῖ γὰρ τανῦν ἢ γῆς σε κρυβῆναι κάτω,
ἢ πυρὸς ἐν ῥιπαῖσιν αἰθέρος θανεῖν.
Ὦ μῖσος, ὦ μέγιστον, ἔχθιστον κακόν,
(τὴν Δεσπότην προδοῦσαν ἐξαυδῶ κάραν,)
ἔτλης προσελθεῖν ὡς φίλος Διδασκάλῳ·
ἦλθες πρὸς αὐτὸν, ἦλθες ἔχθιστος γεγὼς
καὶ Πατρὶ καὐτῷ παντί τ' ἀνθρώπων γένει.
Πῶς πῶς προσεῖπας, πῶς κατησπάσω προδοὺς,
γλώσσῃ προσηύδας, καρδίᾳ μίασμ' ἔχων;
Καὶ ταῦτα δράσας, ἥλιόν τε προσβλέπειν
καὶ γαῖαν, ὦ κάκιστε, τολμᾷς εἰσέτι;
Ταῦτ' οὔτι θάρσους ἐστὶν οὐδ' εὐτολμίας,
εὐεργέτην προδόντα, τολμᾶν προσβλέπειν·
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδει'. Εὖ δ' ἐπεμνήσθην σέθεν,
καίτοι πρὸς οὐδὲν κέρδος, αἰσχύνην δέ σου,
καὶ μὴ παρόντος, κἂν θάνῃς, κἂν φῶς βλέπῃς·
ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι

« quæ sentiat omnis plebs proterva,
« sive mortui fuerint, sive lucem videntes,
« quos deinceps ignis fluvius excipiet.
« Recte editum est istud infallibile oraculum :
« audi, Juda, statum tuorum malorum ;
« etsi nihil proficiam, nisi quod excusationem habeam,
« neque enim Deus te ad saniorem mentem coget :
« penes arbitrium et voluntatem mortalium
« sapere est semper ad omnia. »
Hæc verba fecit angelus an homo, incertum,
ad hunc, ut dixi, Verbi venditorem.

DEIPARA.

O terra mater, cœlique plagæ,
qualium sermonum infandam audivi vocem!
Forte ab discipulo, Fili, facinus perpetratum est,
quem sæpe dilectis per ambages designasti ;
neque enim te latuit, quis auctor esset malorum.
O nequissime, sic enim te appellare queo,
tu hæc fecisti, quum tuum benefactorem prodideris :
dæmon, tua hæc sunt ; quis enim unquam alius
fecisset auctorve fuisset homo inimicus ?
Pereat auctor sceleris ! justitia eum novit,
et infamis discipulus meritam exsolvet pœnam.
O argentarie, ubi tu dolo tuo frueris ?
adhuc vivis, quum talia admiseris facinora ?
nondum sub ima terræ loca tuum abscondis corpus ?
Oportebat enim nunc aut in terræ te visceribus sepeliri,
aut ætherei ignis ictibus mori.
O scelus, o maximum, invisissimum malum,
(illud quod suum Dominum prodidit alloquor caput,)
sustinuisti, ut amicus, ad Dominum accedere !
venisti ad eum, venisti, quum infensissimus esses
et Patri et ipsi et omni hominum generi.
Quomodo, quomodo eum compellasti, quomodo complexus
es quem prodebas,] ore allocutus es, in corde piaculum habens ?] Quumque hæc perpetraveris, solem aspicere
et terram, o nequissime, audes adhuc ?
Ista non sunt audaciæ, neque fortitudinis,
quum qui prodidit benefactorem audet intueri :
sed gravissimus *est* inter homines morborum
omnium, impudentia ! Tui autem opportune memini,
quamvis nihil lucri inde accipias, sed ad tuum dedecus,
licet absis, sive mortuus, sive adhuc luce fruens :
ego enim levabor animo, dicens

τες tres mei et Combefisius. θανόντος... δεδορκότος Ed. — 259 ὅγε C. — 261 προσκόψω οὐδὲν A. — 263 δὲ om. A. — 267 Ὦ om. A. — 269 ἀπαδοῦ B. C. ἐξοπαδοῦ A. ὀπ. Ed. Παῖ om. A. κατηρτύθι C. κατηρτίσθη B. — 274 δαίμων A. — 275 ὃ βούλ. B. βούλευσε a pr. m., βουλεύσε a sec. m. C. — 276 ἐπίσταται A. C. ἐφίσταται B. Ed. — 278 ποῦ συνήδη σῷ δόλῳ C. « Quæ lectio multum arridet Combefisio, qui sic reddit : *Tuo frueris dolo, ex illo utilitatem capis.* At in margine ut in textu. » *Ben.* Nimirum Ed. et B. ποῦ συνείδῃ τῷ Λόγῳ. B. in marg. συνειδης (sine acc.) ἐν λόγῳ. A. συνειδὴς σῷ δόλῳ. — 279 δυνατῶτ' εἰργ. A. — 280 τάρταρος σὸν κρύψει A. — 283 ὦ A. μῖσος tres. μύσος Ed. — 284 τὴν δεσπ. A. C. τὸν δεσπ. B. Ed. — 285 φίλῳ A. φίλως B. a pr. m. — 288 κατεσπεύσω πρόδη (sic) A. — 292 οὔτι... οὐδ' A. C. οὔτε... οὔτ' B. Ed. ἀτολμίας A. — 295 ἃ δ' ὑπεμνήσθη A. ἐπεμνήσθη B.

ψυχὴν τἀληθῆ, σύ τε κοὐ κλύων μάθης·
μάθης γὰρ εὑρὼν τὴν κατ' ἀξίαν τίσιν.
Ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν
Ἄκου', Ἰούδα, τὰ πρὸς αὐτοῦ καλά σοι.
Εἵλκυσεν ἐκ σκότους σε τῆς ἀγνωσίας,
ἔσωσέ σ', ὑπέδειξε φῶς σωτηρίας·
δέδωκέ σοι χάρισμα πολλῶν θαυμάτων·
μύσταις ἔφησε καὶ σὲ συνεδριάσαι,
κρῖναί τε φυλὰς Ἰσραὴλ παντὸς γένους.
Ἔθηκεν ἀργύρια πάντα χερσί σου,
ἔκοψέ σου πρόφασιν ἀναργυρίας.
Ἔκλεπτες ἀεὶ, μὴ δόκει λεληθέναι·
ὁ δ', ἅτε πανάγαθος, οὐκ ἤλεγχέ σε
λόγοισιν, οὐδὲ πρὸς σέθεν κακούμενος,
εἰδώς σε σαφῶς καὶ πρὸ τῆς τολμηρίας,
ἔνιψε καὶ σοὺς δυσμενεστάτους πόδας,
ἄρτου τρύφος τ' ἔδωκε μυστικωτάτου.
Καὶ ταῦθ' ὑπ' αὐτοῦ, παγκάκιστ' ἀνδρῶν, παθὼν,
προὔδωκας αὐτὸν, δῶρα δ' ἐκτήσω φόνου,
πολλῶν προσόντων. Εἰ γὰρ ἦσθ' ἀνάργυρος,
λαβὴν ἂν εἶχες τῶνδ' ἐρασθῆναι τάχα·
νῦν δ' οὐκ ἔχεις πρόφασιν, οὐκ ἔχεις λόγον
χείλη διᾶραι καὶ κατειπεῖν αἰτίαν.
Οὐ γὰρ τοσοῦτον σὺ δυνήσῃ πώποτε,
οὐδ' εἰ γένος πᾶν δαιμόνων σοι συνδράμῃ
καὶ γῆν ἅπασαν ῥημάτων πλήσει κακῶν·
ἐπεί μιν ἐσθλὸν ὄντ' ἐπίσταται κτίσις,
καὶ πάντες ἐγνώρισαν ἐκ τῶν πραγμάτων.
Ἀλλ' ἦγξεν ἀγχόνη σε φιλαργυρίας,
ἣ ῥίζα πάντων τῶν κακῶν πέφυκέ πως·
φρούδη δὲ πίστις, ἣ πρὶν ἀπόλωλέ σοι.
Τοιόσδε φανεὶς, φῶς ὁρᾶν τολμᾷς, τάλα;
ἢ τὸν πρὶν οὐκ ἄρχειν Θεὸν δοκεῖς ἔτι,
ἢ ζυγὰ δίκης ἐν κενοῖς κεῖσθαι τανῦν;
Ὦ κακὸν ἔρνος, οὔποτ' εἶ ῥίζης βροτῶν,
πικρῶν δὲ ῥιζῶν φημί σ' ἐκπεφυκέναι,
ἀλάστορος μὲν πρῶτον, εἶτα δὲ φθόνου,
φόνου, πότμου θ', ὅσα τε γῆ τρέφει κακά·
οὐ γὰρ ἐρῶ ποτ' ἐκ Θεοῦ φῦναί σ' ἐγὼ,
εἰδυῖα καίπερ ὡς τὸ πᾶν προαίρεσις·
Θεὸς γὰρ οὐκ ἄκοντα σαώζει βίᾳ.
Ὦ δύστροπ', ὦ κάκιστε καὶ μιαιφόνε,
οἷον πέπραχας, πεπρακὼς εὐεργέτην!
Αὐτός σ', ὃν ἐλπὶς παιδὸς εἶναι πατέρα,

vera; et tu vel non audiens *vera* edisces:
disces enim, quum debitam inveneris vindictam.
Sed ab iis quæ prima sunt, primum incipiam dicere.
Audi, Juda, quæ bona tibi ab eo fuerint.
Eduxit te ex ignorantiæ tenebris,
salvum te fecit, ostendit lumen salutis;
multorum miraculorum tibi donum contulit:
cum discipulis suis te quoque jussit una sedere,
et judicare Tribus universi generis Israel.
Omnem pecuniam tuis manibus concredidit,
inopiæ prætextum tibi abstulit.
Furabaris semper, ne putes id ipsum latuisse;
is autem, utpote benignus, te non arguebat
verbis, ne injuria affectus quidem ab te,
quum te plane noverit vel ante tuum ausum,
tuos et abluit infestissimos pedes,
panis et frustum tibi dedit sacratissimi.
His tamen beneficiis ab eo affectus, o nequissime hominum,
prodidisti eum, et cædis pretio dona acquisivisti,
quum tibi omnia forent abunde. Si enim pecunia caruisses,
fortassis argenti cupido tibi ansam præbuisset;
nunc non habes istum prætextum, nullam habes rationem,
ut labia aperire et causam exponere possis.
Neque enim tantum unquam tu poteris,
etiamsi genus omne dæmonum tibi astipulaturum
omnemque terram malis impleturum sit verbis;
quandoquidem creatura scit eum esse probum,
et ex ipsius operibus omnes eum noverunt.
Verum tibi gulam fregit restis avaritiæ,
quæ fere omnium malorum est radix:
evanuitque fides, quam prius jam amiseras.
Talis quum appareas, lucem conspicere, miser, audes?
aut Deum, qui prius erat, jam non regnare existimas?
aut irritas nunc evasisse justitiæ lances?
O noxium germen, nunquam ex radice mortalium pullulasti,
sed ex amaris radicibus exortum te assero,
primum quidem ex dæmone, dein invidia,
cæde, et morte, et quæcumque mala nutrit tellus:
neque enim dicam te unquam a Deo genitum fuisse,
quum noverim tamen a libera voluntate exsistere quidquid;
neque enim Deus ulli vim infert, ut salutem consequatur.
O maligne, o nequissime, homicida nefarie,
quale facinus commisisti, quum benefactorem vendideris!
Ipse te, quem credo filii esse parentem,

— 299 τἀληθῆ C. Idem habet quod dedi σὺ τὲ κοὐ κλύων μάθης. A. σύ δ' ἐκ' οὐ κλύων μάθης. In quibus de δέ et τέ plane anceps est judicium. Ed. et B. σὺ δὲ κοὐ κλαίων μάθοις; — 300 μάθης tres. μάθοις Ed. — 305 δέδωκε γάρ σοι B. — 307 φίλοις A. pro φυλάς. — 310 ἀεὶ om. A. — 311 ὅδ' omnes. — 315 μυστικωτάτου A. C. « Reg. H. 11. » δυσμενεστάτῳ B. Ed. — 316 τῶθ' ὑπ' B. — 319 λαβὴν ἂν C. λαβεῖν ἂν A. λαβὴν δ' ἂν B λαβήν γ' ἂν Ed. τῶδ' B. ἐραστῆναι A. — 324 πλήσει tres. πλήσῃ Ed. — 325 ἐπίσταμαι A. — 327 ἧξεν B. — 329 πρὶν ἀπό C. ceteris omissis. In extremis versibus de lacuna non memoro, quia στιχηδὸν scriptus est codex. — 330 τοῖος δὲ Ed. τολμᾶν B. τάλα om. C. — 331 ἤ tres. ἢ Ed. — 332 ζυγαὶ (sic) C. καινοῖς B. — 333 κακῶν B — 335 ἀλάστορα B. cum ος inter versus. — 336 φθόνου iterum C. et a pr. m. B. τε om. A. — 339 σώζει A. — 340 ὦ A. bis. — 341 πέπραχας tres. πέπρακας Ed. πεπραχὼς A. — 342 αὐτό A. αὐτὸς σὸν ἐλπ. B. Referri hæc ad

πρόρριζον ἐκτρίψειεν οὐτάσας πυρί.
Ἔρρ', αἰσχροποιὲ, φιλίας διαφθορεῦ·
ἀπέπτυσ', οὐδ' ἀπόντι σοι δεῖ συλλαλεῖν·
τὸν γὰρ δόλιον καὶ Θεὸς βδελύσσεται.
Ὦ Παῖ, τί δὴ χρυσοῦ μὲν, ὃς κίβδηλος ᾖ,
τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματος;
ἀλλ' αὐτὸς εἰδὼς, ἀγνοεῖν πάντας θέλεις.
Ὄλοιτ' ὄλοιτο πανδίκως κακεργάτης·
ἔρρ' ἔρρε, παγκάκιστε καὶ μιαιφόνε,
ὄλοι'· ἐγὼ δὲ ζῶντα Παῖδ' ἐπόψομαι,
κἂν νῦν στένουσα πολλὰ καὶ πεπληγμένη
κέντροις ἀνίας, ἢ παντλάμων δακρύω·
γυνὴ γὰρ εἰμι κἀπὶ δακρύοις ἔφυν.

ΧΟΡΟΣ.

Αἶ αἶ, αἶ αἶ!
σίγα, σίγα, Παῖδ' οὐκέτ' ὄψει ζῶντα σόν.

ΘΕΟΤΟΚΟΣ.

Οἴμοι, τί θρηνεῖς; τίς δὲ δράματος λαβή;

ΧΟΡΟΣ.

Οὐκ οἶδ'· ἔοικε δ' οὐ μακρὰν ὅδ' ἄγγελος
λέξειν τἀκεῖθεν σοῦ φίλου Παιδὸς πέρι.

ΑΓΓΕΛΟΣ.

Ἔδοξε θανεῖν Παῖδα σὸν τῇδ' ἡμέρᾳ
γραμματέων ψήφῳ τε καὶ πρεσβυτέρων.

ΘΕΟΤΟΚΟΣ.

Οἴμοι, προσῆλθεν ἐλπὶς, ἣν φοβουμένη
πάλαι, τὸ μέλλον ἐξετηκόμην γόοις.

ΧΟΡΟΣ.

Ἀτὰρ τίς ἀγὼν, τίνες Ἑβραίων λόγοι
καθεῖλον αὐτὸν κἀπεκύρωσαν θανεῖν;

ΘΕΟΤΟΚΟΣ.

Γυναῖκες, αἳ τῆσδ' ἐγγὺς ἐστὲ συμφορᾶς,
γυναῖκες, οὐκ ἀνασχέτ', οὐκ ἀνέξομαι·
ῥίψω, μεθήσω σῶμ', ἀπαλλαγήσομαι
βίου θανοῦσα· χαίρετ', οὐκέτ' εἰμ' ἐγώ.
Σὺ δ' εἰπὲ τίνι κέκριται τρόπῳ θανεῖν
Παῖδ'· ἆρα λευσίμῳ χερὶ ψῆφος θανεῖν;
ἢ δὴ σιδήρῳ πνεῦμ' ἀπορρῆξαι κρίσις;

radicitus exstirpet percutiens fulmine.
Peri, o turpia perpetrans, qui amicitiæ leges infregisti;
despuo *in te*, nec cum absente te movendus est sermo·
dolosum enim et Deus abominatur.
O Fili, quare auri quidem, quod sit adulterinum,
clara signa hominibus dedisti,
sed quo oporteat discerni malum virum,
nullum signum *ei* inest corporis?
Hæc autem quum tu noveris, nos omnes vis nescire.
Pereat, pereat justissime scelestus!
peri, peri, nequissime, homicida nefarie,
peri; ego autem vivum Filium meum intuebor,
etsi nunc plurimum gemebunda, dolorisque
percussa stimulis, miserrima lugeam.
Mulier enim sum et ad lacrimas proclivis.

CHORUS.

Ah, ah, ah, ah!
sile, sile, non amplius viventem Filium tuum videbis.

DEIPARA.

Hei mihi! quid ploras? quod tragœdiæ novum initium?

CHORUS.

Nescio; sed videtur brevi hic nuntius
dicturus ea quæ illic tuum dilectum Filium spectant.

NUNTIUS.

Statutum est ut hodie moriatur Filius tuus
scribarum et seniorum decreto.

DEIPARA.

Hei mihi! advenit exspectatum illud, quod metuens
olim, propter futura contabescebam luctu.

CHORUS.

Sed quod certamen, quæ orationes inter Hebræo
damnaverunt ipsum et suffragium tulerunt de morte?

DEIPARA.

Mulieres, quæ statis prope hanc calamitatem,
mulieres, sustineri hæc non possunt, non sustinebo;
projiciam, dimittam corpus, discedam
ex hac vita moriens; valete, non vivo ego amplius.
Tu vero dic, quo mortis genere damnatus fuit
Filius meus: decretumne fuit ipsum mori manu saxis petente?] an ferro animam ipsius divellendam judicium est?

---

FORTUNA.
MUSÆ.
CHORUS.

RUSTICANUS.

Fortuna, ave, beata ter venerandaque:
talem mihi adjutricem adesse pervelim,
ducemque vitæ semper adstare optimam.

SAPIENS.

Quid, Rusticane, ais? deamne prædicas,
venerabilemque et ter beatam nuncupans,
quam jure abhorrent cæteri, ut miserrimam,
exorbitat quia semper a recta via?

RUSTICANUS.

Compesce linguam, garrulumque os comprime:
cavesis ne ad iram concites magnam deam:
nam præsto adest ubique, et omnia perspicit

SAPIENS.

Quis mente præditus deam cæcam colat?

RUSTICANUS.

Est læva tibi mens, perspicax vero mihi.

SAPIENS.

Qui contulit se ad Rusticani limina?

RUSTICANUS.

Nempe hæc sciebat tecta se dignissima:
et, cum veniret, nacta apertas est fores.

SAPIENS.

O mira res! loquutus es verissima.
Conjecto demum, quo modo res gesta sit.

RUSTICANUS.

Unde tibi conjectura? dic dilucide.

ΣΟΦΟΣ.

Πρὸς τὰς ἐμὰς ἤλαυνεν ἐλθεῖν οἰκίας
ἡ πέμπελος γραῦς, ἡ βραδύπους, ἀθλία·
ὡς γῆ τὸ φῶς παρῆλθεν, ἦλθε δὲ σκότος,
ἡ χωλόπους, φεῦ, τῆς ὁδοῦ παρετράπη·
πεσοῦσα δ' ἄφνω τοῖς λίθοις προσερρίφη,
κἂν τοῖς ποσὶν ἔσχηκεν ἀγρίαν νόσον.
Ἀφῆκεν οὖν τὸ τραῦμα ταύτην, ὡς ἔτι
δραμεῖν πρὸς ἡμᾶς, ἢ προκύψαι τῆς θύρας·
ἰδοῦσα δ' ἐγγὺς ἠνεῳγμένας θύρας,
ἦλθεν πρὸς αὐτὰς, καὶ συνεκρύβη [γ'] ἔσω.

ΤΥΧΗ.

Αἶ αἶ, στενάζω. Τίς με τὴν ταχύδρομον,
τὴν ἀρτίπουν εἴρηκε χωλὴν ἀρτίως;
Ἐγὼ κρατῶ γῆς, πρὸς τὸν αἰθέρα φθάνω·
ἐμοὶ καθυπείκουσι πάντα μακρόθεν.

ΣΟΦΟΣ.

Ὦ μιαρὰ γραῦς, κακὸν (ἐν) ἀνθρώποις μέγα,
ὦ γραῦς ῥυπῶσα καὶ κακοῖς πεφυρμένη,
ἀναξίους δεικνῦσα πολλοὺς ἀξίους.

ΤΥΧΗ.

Πολυλογεῖς, ἄνθρωπε, κομπάζεις μάτην,
λαλεῖς ἀναιδῶς, αὐθαδίσας ἐς τόσον.
Ἔχεις τὰ Μουσῶν ἀντὶ Τύχης, καὶ λέγων
ἔμμετρα βάζεις, ῥητορεύεις ἐν λόγοις.
Τὰς Μούσας αὐτὰς αἰτιῶ, μὴ τὴν Τύχην.

ΣΟΦΟΣ.

Ἀπαγχονίζου, δαῖμον, ἔρρε, συνθλίβου,
ὅτι τὰ Μουσῶν εἰς μέσον παρήγαγες.

ΜΟΥΣΑΙ.

Χαίροις ὁ λαμπρὸς ἐν λόγοις, ὑπερμέγας.

ΣΟΦΟΣ.

Ἆ ἆ, σιγᾶτε· πάμπαν ἀπέστω κτύπος·
βάλλει με νυνὶ πάταγος ὠσὶν ἐν μέσοις.
Ἄνοιξον ἄρτι, μὴ πατάσσῃ τις θύραν.

ΜΟΥΣΑΙ.

Ὦ χαῖρε φωστὴρ, τοῦ λόγου τὸ χωρίον.

ΣΟΦΟΣ.

Ποία χαρὰ πρόσεστιν ἡμῖν ἀρτίως;

ΜΟΥΣΑΙ.

Χαρὰ, τρυφὴ πάρεστί σοι, λόγων χάρις.

ΣΟΦΟΣ.

Χορὲ, πρὸς αὐτὰς τὰς πύλας κάτιθί μοι.

ΧΟΡΟΣ.

Ὦ δέσποτα, χάρηθι, τὰς Μούσας ὁρῶ.

ΣΟΦΟΣ.

Ναὶ, κλεῖσον αὐτὰς, καὶ ἄφες ἔξω τῆς θύρας.

ΧΟΡΟΣ.

Μὴ μὴ πρὸς αὐτὰς τὰς θεὰς, ὦ δέσποτα.

SAPIENS.

Tendebat ædes ad meas accedere
hæc decrepita, tardigrada et infelix anus.
Sed vespere orto, conditoque jam die
deflexit ista loripes de tramite,
et procidendo allisit ad silices pedem :
hinc ortus illi mox dolor gravissimus.
Qui cum quiesset paululum, rursus volens
ad nos redire, januæ occlusæ adstitit :
foresque vicini patentes prævidens,
ingressa subito est, intus atque se abdidit.

FORTUNA.

Eheu ingemisco, quod celerrimam omnium
me nescio quis claudicare dictitet.
Terræ impero; pertingo et usque ad æthera :
mihique cuncta obtemperant vel eminus.

SAPIENS.

Anus scelesta, hominumque pestis maxima,
annisque pannisque obsita, et squalens malis,
plerisque honores tribuis indignis viris.

FORTUNA.

Multiloquus es vir, venditas te inaniter,
atque impudenter garris, esque contumax :
et dona Musarum loco Fortunæ habes;
oratione et carmine es promptissimus.
Musas voca in jus, et lacesse; me sine.

SAPIENS.

Abi in malam rem, dæmon, erra, disperi;
quæ dona Musarum invide mihi objicis.

MUSÆ.

Salve, eloquentia omnium clarissime.

SAPIENS.

Heu vos, silete, omnisque clamor sit procul.
Gravis meas nunc sonitus aures perculit.
Jam pande januam, ne eam quis pulsitet.

MUSÆ.

Salveto, jubar orationis maximum.

SAPIENS.

Et quale nobis gaudium obvenit recens?

MUSÆ.

Lætitia, deliciæque, sermonis lepos.

SAPIENS.

Amabo te, Chore, ad fores accurrito.

CHORUS.

O domine mi, lætare : Musæ adstant tibi.

SAPIENS.

Siccine? tu eas exclude, et arce a limine.

CHORUS.

Ne id feceris contra deas tantas, here.

ΣΟΦΟΣ.

Καὶ ποῦ κατεῖδον τῶν θεῶν τῶνδε σθένος;

ΧΟΡΟΣ.

Οὐχὶ σοφόν σε τοῖς λόγοις τεθείκασιν;

ΣΟΦΟΣ.

Ὤνησεν οὐδὲν οὐδαμῶς ἥγε σοφία.

ΧΟΡΟΣ.

Οὐ πάνσοφός γ' εἶ τῶν σοφῶν βουλευμάτων;

ΣΟΦΟΣ.

Βουλεύομαι πῶς ἐκφύγω βίου βίαν·
ἀλλ' οὐ τὸ τέρμα τῆσδ' ἐγὼ προλαμβάνω.

ΧΟΡΟΣ.

Ἔχεις παρ' αὐτῷ πλοῦτον αὐτῆς γε σοφίας.

ΣΟΦΟΣ.

Οὐ λαμβάνουσι τοὺς λόγους ἐν τῇ ἀγορᾷ.

ΧΟΡΟΣ.

Οὐ τοὺς ἐπαίνους ἀντὶ τοῦ πλούτου φέρεις;

ΣΟΦΟΣ.

Καὶ πῶς ἔπαινος οἶδε γαστέρα τρέφειν;
Ὦ συμφορᾶς, ὤ! πλοῦτον ἀγροίκου θέλω.

ΧΟΡΟΣ.

Ποθεῖς τ' ἄγροικος ἐκ σοφοῦ καθεστάναι;

ΣΟΦΟΣ.

Ποθῶ γενέσθαι βυρσοδέψης, λατόμος,
ἢ καί τις ἄλλος τῆς βαναυσίδος τέχνης.
Καὶ γὰρ σκυτεύς τις, ὀψοπώλης τ' ἄσοφος,
ὁ μηδὲ τὸ γρῦ προσλαλεῖν εἰδὼς ἔτι,
ἐν τῷ λαλεῖν δὲ σιέλων χέει πίθους,
σόλοικος, αἰσχρὸς, πάμπαν ἠγροικισμένος,
προέρχεται μὲν τῆς λεωφόρου μέσον
ὑπὸ προπομπῆς ἀρχικῶς ἐσταλμένος,
γαυροὺς δὲ πολλοὺς ἐξερεύγεται λόγους·
ἄλλος δὲ γυμνὸς, εὐγενὴς τὰ πρὸς λόγους,
ἀνέστιος πρόεισιν, ἄθλιος, πένης.
Παραφρόνως μὲν ἐν συνεδρίῳ βλέπω
σοφοὺς ἀτίμους, κἀσόφους τιμωμένους.
Χρυσὸς γὰρ ἄρτι καὶ λαλεῖ [γ'] ἠδὲ σέβεται.

ΧΟΡΟΣ.

Ὦ δέσποτα, ῥᾷσον ὀψὲ τῶν λόγων·
καὶ πρὸς λάλημα τὰς σοφὰς Μούσας δέχου·
πάρεισι γὰρ, πάρεισιν ἐστολισμέναι.

ΜΟΥΣΑΙ.

Αἲ αἲ, πόσον δάκρυον ἐκ τῶν ὀμμάτων
ἐρεύξαμεν νῦν αἱ σοφαὶ πρὸς τοὺς λόγους.

ΣΟΦΟΣ.

Ὁ δὲ τρόπος τίς τῶν τοσούτων δακρύων;

ΜΟΥΣΑΙ.

Ἔγνωμεν ὑμᾶς τοὺς λόγῳ τεθραμμένους
μισοῦντας ἡμᾶς τὰς λόγου πρυτανίδας.

SAPIENS.

Expertus ubinam sum dearum vim, rogo?

CHORUS.

Non te eruditum reddiderunt rhetora?

SAPIENS.

Nil commodi attulit mihi sapientia.

CHORUS.

Doctissimus nonne es catis sententiis?

SAPIENS.

Consulto quî vitæ inopiam vitem meæ:
sed exitum percipere non possum illius.

CHORUS.

Habes apud te amplas opes sapientiæ.

SAPIENS.

Non eloquentia in foro ulla admittitur.

CHORUS.

Laudationes nonne opum loco refers?

SAPIENS.

An famelicum nutrire ventrem laus potest?
O miseriam! o quam Rustici malim bona!

CHORUS.

An rusticanus effici ex sapiente vis?

SAPIENS.

Opto esse lapidum cæsor, aut coriarius,
aut alius artis quilibet mechanicæ.
Nam obsoniorum venditor, vel cerdo iners,
qui proloqui nihil quidem omnino queat,
sed blatterans fundit salivæ flumina,
barbariloquus, turpis, merum rus, is tamen
incedit amplæ per viæ divortia,
stipatus instar principis turba virûm,
superba verba jactitans quamplurima
Venerandus ast hic nobili facundia,
sine ædibus vagatur, infelix, inops.
In cœtibus primos video sanos parum;
et despici doctos, et indoctos coli.
Duntaxat aurum nunc loquitur atque colitur.

CHORUS.

Comparce tandem talibus dictis, here:
Musasque ad alloquium advoca doctas tuum.
Adsunt, en adsunt eleganti cum modo.

MUSÆ.

Heu lacrimas quot fudimus, sapientiæ
omnis magistræ, et eloquentiæ deæ.

SAPIENS.

Quæ causa vero fletuum vobis fuit?

MUSÆ.

Agnovimus vos, deditos facundiæ,
odisse nos, quæ principes fandi sumus.

ΣΟΦΟΣ.
Ναὶ, καὶ βδελυρὰς καὶ μισητέας κρίνω.
ΜΟΥΣΑΙ.
Ὁ δὲ τρόπος τίς τοῦ μίσους, δίδασκε νῦν.
ΣΟΦΟΣ.
Ἄσιτός εἰμι, πλοῦτον οὐκ ἔχω τάλας.
ΜΟΥΣΑΙ.
Ἡ γῆ βοτάνας οἶδε καὶ χλόην φύειν.
ΣΟΦΟΣ.
Οὐ τὰς καταράτους ῥαπίζετε ξύλοις;
ναὶ, τὰς μιαρὰς ὠκέως τυπτήσατε.
ΜΟΥΣΑΙ.
Θυμοῦ κρατεῖν (μὲν) ἔμαθες, ἀλλ' οὐκ αἰσθάνῃ.
ΣΟΦΟΣ.
Ἄνθρωπός εἰμι· τί φάγοιμι τὴν χλόην;
ὄνῳ παρεικάσαιτε τὸν τάλαν' ἐμέ.
ΜΟΥΣΑΙ.
Ὦ χρυσολάτρα, πεπλανημένος μένεις,
τῆς δ' ἀρετῆς τὴν δόξαν οὐδ' ὅλως φιλεῖς·
φιλεῖς μεθύσαι τὴν πολύχρυσον μέθην.
ΣΟΦΟΣ.
Καὶ τί ποτ' ἐστὶν ἡ μέθη, μαθεῖν θέλω.
ΜΟΥΣΑΙ.
Μέθυσον οὐ κατεῖδες ἐξ οἴνου ποτέ;
ΣΟΦΟΣ.
Οἶνος δὲ τί πέφυκεν, ἐκδιδάσκετε,
καὶ μήτ' ἄδηλα τοῖς ἀδήλοις βάζετε·
ἐμοῦ γὰρ ὕδωρ ἐξυδραίνει γαστέρα.
ΤΥΧΗ.
Ὁρᾷς ὅπως λέξεσιν εὐφυεστέραις
Μούσαις λαλεῖς οὔ σοι καταλλαξαμέναις;
ΣΟΦΟΣ.
Ὦ γραῦς βέβηλε, μυσαρὰ, παλαιτάτη,
ὄλεθρε κοινὲ τῶν βροτῶν παντὸς γένους,
ἀρχηγὲ κακῶν, ἀρχαϊκὴ (τ' αὖθι) κακία,
λέγειν βιάζεις· ἤθελον πάντως λέγειν,
καὶ μὴ φορεῖν τρίχινον ἄθλιον ῥάκος,
καὶ μὴ πομάτων ἀπορεῖν καὶ βρωμάτων,
καὶ μὴ τρέφεσθαι (δὲ) λαχάνοις χλοηφόροις,
ὡς οἷα κάπρος ἐκ δρυμῶνος ἀγρίου.
ΜΟΥΣΑΙ.
Τί δὴ τοσοῦτον σὺ χαλάσας τὰς φρένας,
ἄκομψα φωνεῖς, ὢν σοφὸς πρὸς τοὺς λόγους;
οὐχὶ λόγου φῶς σοί γε συγκαλύπτεται;
Τοίνυν κατειδῆς σὰς θανούσας ἐλπίδας
εἰς φῶς φανείσας, εἰς νέαν φρυκτωρίαν·
καὶ πλοῦτον εἰδῇς, καὶ τρυφὴν βίου φάγῃς.
ΣΟΦΟΣ.
Γένοιτό μοι νῦν· τὸ δὲ μέλλον οὐ βλέπω·
δέδοικα μή πως εἰς ἐναντίον πέσω.

Δόξα κλέος τε Θεῷ.

SAPIENS.
Sic res habet; vanas et odiosas puto.
MUSÆ.
Quæ ratio sit odii, doceto nos modo.
SAPIENS.
Laboro inedia miser; opes non sunt mihi.
MUSÆ.
Olera solet gramenque terra gignere.
SAPIENS.
Non exsecrandas cæditis ligonibus?
cur non scelestas tunditis celerrime?
MUSÆ.
Animum regere, cum didiceris, nescis tamen.
SAPIENS.
Natus homo sum: cur gramine utar pabulo?
me comparastis miserum asello cuipiam.
MUSÆ.
O cultor auri, errore perstas in tuo:
virtutis altam gloriam non plane amas:
optas inebriari aurea temulentia.
SAPIENS.
Quid tandem ebrietas sit, velim cognoscere.
MUSÆ.
Nunquamne vidisti gravatum ullum mero?
SAPIENS.
Quæ sit meri natura, rursum exponite:
obscurioribus nec obscura addite.
Nam præter undam nil meam sedat sitim.
FORTUNA.
Videsne, ceu concinnioribus modis
Musis loquaris benevolis parum tibi?
SAPIENS.
Anus profana, invisa, et annosissima,
communis omnium lues mortalium,
malorum origo prima, vitiorumque fons,
dic, quod lubet. Mallem ego loqui quovis modo,
nec pallium hoc gestare villosum et grave,
item cibo potuque egere neutiquam,
nec vero oleribus vescier virentibus,
ut sævus aper in nemoribus densis solet.
MUSÆ.
Quo tibi ruina corda se flectunt gravi?
incompta loqueris, doctus orator prius.
An lux tibi est surrepta rationis modo?
Ergo cito aspicias tuam spem futilem
in luce conspicuam, velut jubar novum:
opesque videas, delicate et victites.
SAPIENS.
Sic accidat mihi nunc; nec instans intuor:
at timeo ne posthac cadam in contrarium.

Laus sit Deo.

ΤΟΥ ΚΥΡΟΥ ΘΕΟΔΩΡΟΥ ΠΡΟΔΡΟΜΟΥ

ΑΠΟΔΗΜΟΣ ΦΙΛΙΑ.

DOMINI THEODORI PRODROMI

AMICITIA EXULANS.

Περιοχὴ τοῦ δράματος.

Φιλία ὑπ' ἀνδρὸς αὐτῆς τοῦ Κόσμου ἤτοι βίου ἀνθρωπίνου ἐκβέβληται. Συνεζεύχθη δ' αὐτῷ ἡ μαχλὰς Ἔχθρα, συμβουλευσάσης Μωρίας τῆς θεραπαινίδος αὐτοῦ.

Τὰ πρόσωπα.

ΞΕΝΟΣ καὶ ΦΙΛΙΑ.

ΞΕΝΟΣ.

Ὦ Φιλία δέσποινα, πάντιμον κάρα,
ποῖ καὶ πόθεν; καὶ ταῦτα μεστὴ δακρύων,
στυγνή, κατηφής, τὴν κόμην ἐσκυλμένη,
κύπτουσα πρὸς γῆν, ὠχριῶσα τὴν χρόαν,
χιτώνιον πενθῆρες ἠμφιεσμένη,
ἀτημελὴς τὸ ζῶσμα καὶ τὸ βλαυτίον,
καὶ τὴν χαχίστην ἀλλαγὴν ἠλλαγμένη·
ὁ δὲ στολισμὸς ὁ πρίν, ἡ δὲ πορφύρα,
ἡ δ' εὐπρέπεια, καὶ τὸ τοῦ χείλους ῥόδον,
ὁ δὲ πλόκαμος, ἡ δὲ τῆς ζώνης χάρις,
αἱ δ' ἀρβυλίδες, ἡ δὲ λοιπὴ σεμνότης,
ᾤχοντο πάντα πρὸς τὸ μηδὲν ἀθρόα.
Καὶ νῦν γυναιξὶν ἐμφερὴς θρηνητρίαις,
στυγνὴ βαδίζεις· ἀλλὰ ποῖ δὴ καὶ πόθεν;

ΦΙΛΙΑ.

Γῆθεν πρὸς αὐτὸν τὸν Θεὸν καὶ πατέρα.

ΞΕΝΟΣ.

Ἔρημος οὖν ὁ κόσμος ἐστὶ φιλίας;

ΦΙΛΙΑ.

Ἔρημος· ὅς τοσοῦτον ἐξύβριζέ με.

Argumentum dramatis.

Amicitia a marito suo Mundo (id est vita humana) ejecta exhibetur. Ille autem in matrimonium duxit libidinosam Inimicitiam, consilium secutus servæ suæ Stultitiæ.

Personæ.

HOSPES et AMICITIA.

HOSPES.

O domina Amicitia, venerandum mihi caput,
quo *vadis* et unde *venis?* et plena quidem lacrimis,
mœsta, tristis, lacerata coma,
terramque cernens, pallido colore,
veste lugubri induta,
neglectis cingulo et crepida,
et pessima mutatione mutata;
ornatus autem pristinus vestimenti, purpura illa,
decus illud, et illa labelli rosa,
et cincinnus, et cinguli illa gratia,
et elegantes calcei, et reliquus decor tuus,
hæc evanuerunt omnia simul et in nihil reciderunt.
Plane nunc refers mulieres præficas, et
mœsta incedis: sed quonam et unde?

AMICITIA.

De terra ad ipsum Deum et patrem.

HOSPES.

Mundus igitur nunc orbatus est amicitia?

AMICITIA.

Orbatus, iste qui tantum in modum mihi insultavit.

ΞΕΝΟΣ.

Ὕβριζε;

ΦΙΛΙΑ.

Καὶ θύραθεν ἐξέρριπτέ με.

ΞΕΝΟΣ.

Θύραθεν;

ΦΙΛΙΑ.

Ὥστε καὶ νομισθῆναι θανεῖν.

ΞΕΝΟΣ.

Εἶτ' ἐξέκεισο;

ΦΙΛΙΑ.

Καὶ μεμαστιγωμένη.

ΞΕΝΟΣ.

Μελαγχολᾶν τὸν κόσμον ἀντικρὺς λέγεις,
οὕτω μανικῶς ἐμπαροινήσαντά σοι.

ΦΙΛΙΑ.

Τί δ' ἂν τὰ λοιπὰ τῶν ἐμῶν παθῶν μάθῃς;
νῦν μὲν κατ' ἀμφοῖν πυγμαχοῦντος ταῖν γνάθοιν,
νῦν δ' ἐνθοροῦντος λὰξ κατ' αὐτῆς γαστέρος·
ἐῶ τὰ λοιπὰ καὶ τὰ μείζονα, Ξένε·
ἦ γὰρ μαθὼν ἤλγησας ἂν τὴν καρδίαν.

ΞΕΝΟΣ.

Μὴ μὴ πρὸς αὐτοῦ τοῦ πατρός σου, Φιλία,
μηδὲν σιγήσῃς, ἀλλά μοι τὸ πᾶν φάθι.

ΦΙΛΙΑ.

Οὐκοῦν καθιζήσαντες ἀμφὶ τὴν πίτυν
(ὁρᾷς τὸ δένδρον, ὡς καλόν τε καὶ μέγα)
τὸ πᾶν ἐπεξέλθωμεν ἤδη τοῦ λόγου.

ΞΕΝΟΣ.

Ἰδοὺ καθιζήκαμεν· ἄρξαι τοῦ λέγειν.

ΦΙΛΙΑ.

Ἐγὼ τὰ πρῶτα τῷ Θεῷ, τῇ Τριάδι
ἀεὶ σύνειμι καθαρῶς ἡνωμένη,
ἐν τοῖς ἀσωμάτοις δὲ δευτέροις νόοις
καὶ ταῖς τρισὶ τριάσι ταῖς ἄνω μένω,
οἷον Χερουβὶμ καὶ Σεραφὶμ καὶ Θρόνοις
καὶ ταῖς προλοίποις αὔλαις στραταρχίαις.
Ἐγὼ μὲν αὐταῖς καὶ πρὸς αὐτὰς τὴν σχέσιν
καὶ πρὸς τὸ θεῖον καὶ πρὸς ἀλλήλας νέμω·
καὶ τὰς τοσαύτας τῶν ἄνω μυριάδας
εἰς ἓν συνάπτω, καὶ μίαν σειρὰν πλέκω.
Ἑωσφόρος μόνος με πρὶν ἀπεστράφη,
κἀκ τῶν ἀφ' ὕψους ἀντύγων κατεστράφη.
Οὕτως μὲν οὕτως ἡ νοουμένη κτίσις
ἐμοὶ κρατεῖται καὶ μένει φρουρουμένη.
Τὴν γὰρ θεατὴν καὶ κατ' αἴσθησιν φύσιν,
τὸ κοσμικὸν πλήρωμα, τὴν κάτω κτίσιν
τίς ἀμφιβάλλει μὴ κρατεῖσθαι Φιλίᾳ;
ὁ φλήναφος γὰρ Ἐμπεδοκλῆς ἐρρέτω,
τὸ νεῖκος εἰπὼν δημιουργὸν τῶν κάτω.

HOSPES.

Insultavit?

AMICITIA.

Atque etiam foribus me expulit.

HOSPES.

Foribus?

AMICITIA.

Adeo ut crederer esse mortua.

HOSPES.

Ac foris jacebas?

AMICITIA.

Idque flagris cooperta.

HOSPES.

Insanire haud dubie Mundum narras palam;
qui talibus modis grassatus in te sit insane.

AMICITIA.

Quid *dicas* si audias quæ reliqua sunt meorum malorum?
illo nunc pugnis mihi involante maxillam utramque,
nunc pedibus saltu impetente ipsum ventrem:
sed sino cetera et graviora, Hospes:
sane enim perceptis tu doleres animo.

HOSPES.

Ne quid, ne per ipsum tuum patrem, Amicitia,
ne quid tacueris, verum mihi tu totam rem narra.

AMICITIA.

Ergo sedentes ad hunc fagum
(viden' arborem, ut pulchra et ampla!)
universam rem verbis jam explicabimus.

HOSPES.

En consedimus: narrare incipe.

AMICITIA.

Ego quidem primum cum Deo, cum Trinitate
semper una sum, pure conjuncta:
in incorporeis autem alteris mentibus
et trinitatibus tribus cœlestibus immaneo,
dico Cherubim et Seraphim et Thronis,
et in reliquis immaterialibus exercituum potestatibus.
Ego et ipsis et erga ipsas affectum
et erga numen et mutuum inter omnes dispenso,
et tot myriades cœlestes
in unum conjungo, et unam inde catenam necto.
Solus olim Lucifer me aversatus est,
atque ex cœlestibus ille apsidibus dejectus est.
Sic, sic omnis spiritualis creatura
a me continetur et manet in mea custodia.
Visibilem enim et quæ sensibus percipitur naturam,
mundi plenitudinem, terrenam creaturam
quis ambigit contineri potestate Amicitiæ?
nugator quippe Empedocles pereat,
qui lite dixit conditum hunc mundum esse.

Τί γὰρ νοήσει καὶ συναίσθηται τίνος
ἄνθρωπος οὐ γνοὺς ὡς τὸ πῦρ φύσει καίει,
ἀλλ' εἰς πυρὸς κρατῆρας ἐμπεσὼν μέσους;
Ἢ τίς τὸν εὐρὺν οὐρανὸν καὶ τὸν μέγαν,
ἄκαμπτον ὄντα τὸ πρὶν εὐθυωρίᾳ
(χρὴ γὰρ πιθέσθαι τοῖς λόγοις τοῦ φαμένου),
ἔκαμψεν εἰς τὴν σφαῖραν, εἰ μὴ Φιλία;
Οἷον γὰρ εἰπεῖν, ὡς καλοῦ καὶ κοσμίου
ἐρῶν ἑαυτοῦ, πρὸς κύκλον συνεστράφη,
ἑαυτὸν αὐτῷ φιλιῶν πανταχόθεν
καὶ πάντα πᾶσι συμπερισφίγγων μέρη.
Ἐγὼ τὰ κύκλα τῶν ἀπείρων ἀστέρων
ἁπλῶς ἁπάντων, ἀπλανῶν, πλανωμένων,
ἔταξα δεσμῷ καὶ συναφῇ πανσόφῳ·
ἐγὼ φιλιῶ τῷ σεληναίῳ κύκλῳ
τὸν ἡλιακὸν δίσκον, ὃς τὸ φῶς βρύει·
καὶ φιλιῶ τοσοῦτον, ὡς καὶ λαμπάδας
κιχρᾶν ἐκείνῳ τοῦτον εἰς νυκτῶν σέλας.
Ἐγὼ τὸ πᾶν πλήρωμα τοῦ παντὸς βίου
πλοκῇ ξυνεστὸς φύσεων ἐναντίων
κοινῶς ἑνίζω, κἂν διίσταται φύσει.
Ξηρὸν τὸ πῦρ, ὑγρὸν δὲ χύσις ἀέρος,
καὶ γειτονοῦσι ταῦτα, καὶ μέσον μάχη·
ἀλλ' ἐμβαλοῦσα τοῖν δυοῖν ἐναντίοιν
κοινὸν τὸ θερμὸν, τὴν μάχην ἀνατρέπω.
Θερμὸν μὲν ἀὴρ, ἀλλ' ὕδωρ ψυχρὸν φύσει,
ἀγχιθυρεῖ δὲ, καὶ κατ' ἀλλήλων πνέει·
ἀλλ' ὑμέσιν ἐνοῦσα τούτοις ὑγρότης
ἄμφω ξυνάπτει καὶ πρὸς εἰρήνην φέρει.
Ὕδωρ μὲν ὑγρὸν, ἡ δὲ γῆ τοὐναντίον·
μέση δ' ἐν ἀμφοῖν ἐμπεσοῦσα ψυχρότης
φίλιον αὐτοῖς ἐμβραβεύει τὸν βίον.
Τοιαῦτα τὰ στοιχεῖα τοῦ παντὸς βίου.
Τὰς τέτταρας δὲ τοῦ γίγαντος ἡλίου
τροπὰς, τίνος φαίημεν; οὐχὶ Φιλίας;
χειμὼν γὰρ εὐθὺς οὐ τέτραπται πρὸς θέρος,
τῶν ποιοτήτων σφῶν ἐναντιουμένων,
ἀλλ' εἰς ἔαρ μετῆλθεν, εἶτα πρὸς θέρος·
καὶ τοῦ θέρους ἡ κρᾶσις οὐκ εἰς τὸ κρύος,
ἀλλ' εἰς μέσον τὶ, τῶν ὀπωρῶν τὴν φθίσιν.
Κἀντεῦθεν ὥσπερ ἐξ ἁπαλῶν παρθένων
τῶν συμπλεκουσῶν τὰς κρόκας καὶ τοὺς μίτους
(ὥρας δὲ ταύτας γνῶθί μοι τὰς παρθένους)
καλὴ τελεῖται τῶν ἐτῶν ἱστουργία.
Ἐγὼ συνιστῶ τὸν βροτήσιον βίον.
Εὐρωστία καὶ κάλλος ἄμφω Φιλίας.
Ἄμφω Φιλίας ἔργα πῶς, ζητεῖς; μάθε.
Ἂν ἡ τετρακτὺς τῶν χυμῶν σχῇ φιλίαν,
καλῶς ἔχει τὸ σῶμα, καὶ μακρὰν νόσοι.
Εἰ τῶν μελῶν δ' εὔρυθμός ἐστιν ἡ σχέσις,
ἔχει δὲ καὶ σύστοιχον ἀλληλουχίαν,
ἐνδύεται δὲ καὶ χρόαν εὐχρουστέραν,
κάλλος καλεῖται τοῦτο τοῖς παλαιτέροις·
ἡ γοῦν ὑγεία καὶ τὸ κάλλος Φιλίας.

Quid enim saperet aut quid cognosceret
homo qui nesciebat ignem natura sua urere,
verum in crateras ignis desiliit medios?
Aut quis latum cœlum illud et magnum,
protensum quondam rectæ planitiei modo
(nam fides haberi debet verbis hæc testantis),
flexit in sphæram, nisi Amicitia?
Nimirum cœlum, ut pulchrum et elegans
amans se ipsum, in circulum se vertit,
se ipsum sibi amice concilians per omnes partes
et omnia omnibus firmiter circumplectens membra.
Ego siderum orbes infinitorum
omnium omnino, fixorum, errantium,
in suo loco collocavi vinculis et compositione scitissima.
Ego amicitiam concilio inter lunarem orbem
et solarem discum, qui lumen scaturit:
et ita concilio, ut etiam lampadas
commodet illi hic in noctium splendorem.
Ego plenitudinem omnem omnis vitæ,
nexu constantem naturarum adversarum,
in unum committo, quanquam discordet naturâ.
Est siccus ignis, humidus autem fusus aer,
et hæc vicina sunt, et inter eos pugna:
sed his duobus contrariis injecto
communi calido, discordiam tollo.
Est calidus aer, sed aqua frigida naturâ,
et finitima sibi habitant, et inimica spirant:
Sed quæ his substantiis inest humiditas
ambas conjungit et ad pacem ducit.
Est aqua uvida; terra aret:
sed frigus inter ambas sese interponens
amicam his conciliat vitam.
Talia sunt universæ vitæ elementa.
Quattuor autem illas gigantis Solis
mutationes, cujusnam esse dicamus? nonne Amicitiæ?
hibernus enim aer non illico convertitur in æstatem,
quum qualitates eorum sint plane contrariæ:
sed in ver primum abit, deinde in æstatem;
atque æstatis temperies haud repente in frigus,
sed in medium aliquid, in autumnum.
Atque hinc tanquam a teneris puellis
contexentibus stamen et subtemen
(nimirum anni tempestates intellige mihi esse has puellas)
pulchra perficitur annorum tela.
Ego concinno humanam vitam.
Sanitas et pulchritudo, ambo sunt Amicitiæ.
Ambo Amicitiæ opera quomodo sint, quæris? Disce.
Quando quattuor humores amice consentiunt,
tum sanum est corpus, et longe absunt morbi.
Si artuum bene concinna figura sit,
et mutuum connexum habeat bene junctum,
indueritque etiam colorem pulchre tinctum,
hoc pulchritudo vocatur ab antiquioribus
Est ergo valetudo bona et pulchritudo Amicitiæ opus

Ἐγὼ πολίζω τὰς πόλεις ἡ Φιλία,
κἂν εἰ πόλεις λέγοι τις αὐτὰς τὰς πόλεις,
κἂν αὐτὸ μᾶλλον τῶν πολιτῶν τὸ στίφος.
Πλίνθοι γὰρ ὀπταὶ καὶ λίθων ξεστῶν βάρη
ἐμοὶ ξυνῆλθον εἰς ἑνὸς τοίχου κτίσιν,
δυὰς δὲ τοίχων ἀμφὶ γωνίαν μίαν,
καὶ γωνίαι τέσσαρες εἰς πλήρη δόμον.
Ἐγὼ συνιστῶ τὰς παρ' ἀνθρώποις τέχνας·
καὶ τῷ σκυτεῖ μὲν φιλιῶ τὸν κναφέα,
τῷ χαλινεργάτῃ δὲ τὸν στρατηλάτην,
καὶ τῷ γεωργῷ τὸν βάναυσον συνδέω,
καὶ τεχνίτην ἅπαντα παντὶ τεχνίτῃ.
Χρῄζει γὰρ ὄντως ἁλιεὺς πᾶς γηπόνου·
διδοὺς γὰρ ἰχθὺν, ἄρτον ἀντιλαμβάνει·
καὶ γηπόνος πᾶς αὖθις ἀσπαλιέως·
διδοὺς γὰρ ἄρτον, ἰχθὺν ἀντιλαμβάνει.
Καὶ παντὸς ἅπας ἐνδεὴς ὁ τεχνίτης·
κἀντεῦθεν εὖ πάσχουσιν αἱ πόλεις πᾶσαι.
Ἐγὼ γάμου σύμπαντος ἡ νυμφοστόλος·
ἐγὼ τὸ θῆλυ πρὸς τὸν ἄρρενα τρέπω·
ἐγὼ τὸν ἄνδρα πρὸς τὸ θῆλυ συντρέπω.
Τί γὰρ μύραιναν, τὴν θαλασσίαν ὄφιν,
τὸ πόντιον πέπεικεν ἐκλιπεῖν βάθος,
ἀναδραμεῖν δὲ τῆς θαλάσσης τὴν ῥάχιν,
ἐπιδραμεῖν δὲ καὶ τὸ χερσαῖον πέδον;
Τίς τοῦ σιδήρου τὴν ἅπασαν οὐσίαν
δούλην καθιστᾷ τῆς μαγνήτιδος λίθου;
οὐδέν τι πάντως ἄλλο Φιλίας δίχα.
Ἐμοὶ τὸ πᾶν ζῇ καὶ κρατεῖται καὶ μένει
Εἴπω τὸ μεῖζον, καὶ σιγάτω πᾶς λόγος.
Ἐγὼ Θεὸν τὸν ὄντα τὸν παντεργάτην,
τὸ Πατρὸς ἐκσφράγισμα, τὸν μέγαν Λόγον,
τὸ παμφαὲς φῶς, τὴν ὑπέρθεον φύσιν,
τὸν ἄχρονον νοῦν, τὴν χρονουργὸν οὐσίαν,
ἐλθεῖν ἔπεισα μέχρι γῆς καὶ τῶν κάτω,
καὶ τὴν παθητὴν προσλαβεῖν ὅλην φύσιν,
καὶ σωματικὴν ἐνδυθῆναι πορφύραν
ἐκ παρθενικῶν αἱμάτων ὑφασμένην,
παθεῖν, θανεῖν. Φεῦ τῆς τοσαύτης ἀγάπης,
δι' ἧς τοσοῦτον ἔργον! ὢ φίλτρου ξένου,
δι' ὃ χρονικῶς μίγνυται τῷ σαρκίῳ
ὁ κυριεύων καὶ χρόνου καὶ σαρκίου·
καὶ συνανιστᾷ τὴν πεσοῦσαν εἰκόνα,
ἐν τῷ καθ' αὑτὸν ἀναχωνεύσας πάθει.
Τοιαῦτα τἀμὰ πρὸς βροτοὺς ἔργα, Ξένε·
τοιαῦτά μου τὰ δῶρα τὰ πρὸς τὸν βίον·
ἀλλ' εἰς νεκροὺς τὰ μύρα τῆς παροιμίας·
ἀλλ' εἰς ὄνους ἡ λύρα τοὺς κανθηλίους·
ἐλάνθανον γὰρ ἀχαρίστῳ δραπέτῃ
ὅλην ἐμαυτὴν ἐκδιδοῦσα τῷ Βίῳ·
ὃς τὴν ἐμὴν μὲν ἀθετεῖ συνουσίαν
δείλαιος ἀνδρῶν, εἰς δ' ἀγεννῆ μαχλάδα
(Ἔχθραν καλοῦσι τὴν ἀτάσθαλον) ῥέπει.
Τῆς δουλίδος γὰρ Μωρίας ξυνεργίᾳ

Ego urbes condo Amicitia,
sive urbes aliquis dicat ipsa mœnia,
sive potius ipsam civium multitudinem.
Laterum enim coctorum lapidumque politorum pondera
per me in unius parietis structuram coiere;
porro duo parietes in unum angulum,
et quattuor anguli in domum integram.
Ego consocio inter se artes hominum:
et calceario amice concilio fullonem;
frenorum fabro magistrum equitum,
et agrum colenti mechanicum conjungo,
denique opificem quemlibet cuilibet opifici.
Indiget enim revera, *verbi causa*, omnis piscator agricola;
nam piscem dans contra accipit panem:
egetque rursus agricola omnis piscatore;
nam panem dans contra accipit piscem:
sic omnis opifex eget omni opifice.
Hinc florent urbes omnes.
Ego nuptiis in omnibus sum pronuba:
ego femineum sexum masculo concilio;
ego marem ad feminam converto.
Quid enim murænam, serpentem pelagium,
maris permovit relinquere profunda,
et sursum properare in superficiem maris
et percurrere vel terrenum campum?
Quid ferri substantiam omnem
servam constituit magnetis lapidis?
nihil quicquam aliud sane, præter Amicitiam
Per me omne vivit et regitur et constat.
Jam dicam quod est majus, et sileat omnis oratio.
Ego Deum, qui est, qui cuncta condidit,
Patris expressum typum, magnum Verbum,
splendidissimam lucem, supremam essentiam,
mentem sine tempore, substantiam temporis effectricem,
descendere permovi in hanc terram et in infernum,
et passibilem assumere naturam totam,
et corporalem induere sibi purpuram
ex virgineo sanguine textam,
denique pati, mori. Proh! quantam caritatem,
per quam *exstitit* tantum facinus! O immanem amorem,
ob quem temporaliter miscetur carne
dominus et temporis et carnis,
et in integrum restituit abolitam *Dei* imaginem,
in ea, quam ipse subiit, passione denuo fictam!
Hæc talia sunt mea in mortales merita, Hospes;
talia quæ ego in vitam omnem contuli dona.
Sed in mortuos, quod proverbio dicitur, *effundo* unguenta,
sed ad asinos lyra *projecta est* cantherios.
Nesciebam enim me ingratissimo fugitivo
totam me prodidisse, Mundo:
qui meum quidem repudiat connubium,
hominum miserrimus, et in abjectum scortum
(Inimicitiam vocant improbam illam) inclinat.
Nimirum ancillulæ Stultitiæ ministerio usus

αὐτὴν μὲν ἐντὸς εἰσάγει τῆς οἰκίας,
ἡμᾶς [δὲ] τύπτων ἐξάγει. (Ὦ) νόμοι, νόμοι!
καὶ τοὺς ἀθέσμους οὐδὲ κἂν κλέπτει γάμους,
ἀλλ' ἀναφανδὸν ἐκτελεῖ τὴν αἰσχύνην,
καίτοι πρὸ πάντων ἀγνοῶν καὶ τὴν θέμιν.
Τί φλαῦρον ἡμῖν, ὥστε λῦσαι τὸν γάμον;
τί δ' ἀγαθὸν πρόσεστι τῇ μοιχαλίδι,
ὥστε πρὸς αὐτὴν ἀντενέγκαι τὸν πόθον;
Εἰ γάρ με ταύτῃ συγκρίνειν βούλοιτό τις,
ὀκνῶ τὰ κομψὰ μέμψιν εὐλαβουμένη.
Ἐγὼ μὲν εἰμὶ χαροπὸς, χρηστὰ βλέπω,
καὶ μειδιῶ τὰ πλεῖστα, καὶ χάριν πνέω·
κἂν δεῖ λαλεῖν, ἐνταῦθα γλυκύτης ὅση·
κἂν δεῖ γελᾶν, ἐνταῦθα σεμνότης ὅση·
ἐν συμπλοκαῖς οὐ μανθάνεις τοὺς δακτύλους,
ἐν τοῖς βαδισμοῖς τοὺς πόδας δ' οὐκ ἂν μάθοις.
Κἂν νῦν πλακοῦντες, νῦν δ' ἅλες τρέφωσί με,
οὐ τοὺς πλακοῦντας προκρίνω τῶν ἁλάτων.
Ἐν τοῖς ἀγαθοῖς τὸν πέλας γοργὸν βλέπω,
πάσχω δὲ πρὸς φαῦλόν τιν' ἀμβλυωπίαν.
Ἐναντίας πέφευγα κακίας δύο,
τὴν ὑπόκρισιν, τόν τε πέρπερον τρόπον.
Ἐμοῦ μὲν οὖν τοσαῦτα· τῆς δ' Ἔχθρας τίνα;
φόνιον αἷμα, χεῖρες ᾑματωμέναι,
ὕπωχρος ὄψις, ἐκτετηγμέναι γνάθοι,
φωνὴ τραχεῖα, βάρβαρος δὲ τὸ πλέον,
ἄσεμνος ὕβρις, ἅλμα, κραυγὴ, θροῦς ὅσος.
Τίς οὖν φρονῶν ἄνθρωπος, εἰπέ μοι, Ξένε,
τοιάνδ' ἀφεὶς, ἕλοιτο τοιάνδε βλέπειν,
βάκχην ἀτεχνῶς, ἀγρίαν καὶ μαχλάδα;
Ἀλλ' [οὖν] ὁ τρισάνοικτος ἄθλιος Βίος
τοιαῦτα τολμᾷ καὶ τόσην ἀδικίαν.
Ἐγὼ δὲ καὶ τοσαῦτα παθοῦσα, Ξένε,
ὅμως φιλῶ μου τὸν ξυνευνέτην πάλιν.
Πῶς γὰρ δυναίμην μὴ φιλεῖν ἡ Φιλία;
Ἀλλ' ἐν κενοῖς, εἴποι τις ἴσως, ὦ γύναι,
κακηγορεῖς τὸν ἄνδρα καὶ πόρρω λόγου.
Δέον κακῶς γὰρ τὴν θεράπαιναν λέγειν,
ἥτις ποτ' ἐστὶν, ἣν ἔφης σὺ Μωρίαν·
αὕτη γὰρ αὐτὸν εἰς τὸ μύσος ἑλκύει·
σὺ δ' ἀλλ' ἐκείνην ἐξάγεις τῆς εὐθύνης,
πνέεις δὲ πῦρ ἄντικρυς ἀμφὶ τὸν Βίον.
Εἰ ταῦτά τις πρόθοιτο πιθανῶς τάχα,
ἀντιπροθοίμην ταῦτα πιθανωτέρως.
Ἐφ' ᾧ γὰρ ἡμῶν μὴ κλύων τῶν γνησίων,
ὅλας παρέσχεν ἀκοὰς τῇ δουλίδι,
καίτοι μαθὼν τὸ δοῦλον ἐχθρὸν δεσπόταις;
Πλὴν ἀλλὰ καὶ πῶς τῆς λυσιγάμου γάμος;
ἢ πῶς Φιλίας μὴ παρούσης τῷ γάμῳ
ἔσται τὸ κοινώνημα τῆς συνουσίας;
Βλέπεις φρενῖτιν ἣν νοσεῖ, βλέπεις μέθην;
ὁρᾷς μανικὴν ἐκτροπὴν, ὁρᾷς νόσον;
Οὐδ' αὐτὸ γοῦν ἔγνωκεν, ὡς Ἔχθρας φύσις
οὐκ οἶδε δεσμεῖν, ἀλλὰ τοὺς δεσμοὺς λύειν.

eam in penetralia introducit domus,
nos autem verberans expellit. Proh leges, leges!
et interdictas illas ne clam quidem habet nuptias,
sed palam consummat rem pudendam,
pudorem coram omnibus ignorans atque fas.
Quid in nobis est mali, ut solvendum fuerit matrimonium?
quid boni inest isti adulteræ,
ut ad eam transferendus fuerit amor?
Nam si me huic comparare aliquis velit,
vereor laudes *audire*, reprehensionem *inde* metuens.
Ego sum læto vultu, bono aspectu,
et subrideo plerumque, et gratiam spiro.
Si loquendum est, hîc suavitas quanta *inest!*
si ridendum est, hîc gravitas quanta!
In complexibus non sentis digitos meos;
in incessu autem pedum haud senseris motum.
Et seu placentæ, seu sal sit mihi cibus,
non placentas præfero sali.
Inter bonos proximum aspicio oculis vivide;
sed ad malum cæcitas quædam mihi incidit.
Contrarias fugio pravitates duas,
simulationem, et morum levitatem malam.
Hæc propria sunt mihi: Inimicitiæ vero quænam?
cædes cruenta, manus sanguine infectæ,
pallida facies, emaciatæ genæ,
vox aspera, barbara utplurimum;
insolentia proterva, saltus, clamor, vociferatio quanta!
Quis igitur mente constans homo, dic mihi, Hospes,
me tali derelicta, præferret istiusmodi mulierem aspicere,
Baccham planissime, ferocem et scortum?
At ille ter deplorandus, miser Mundus
tale facinus audet et tantum nefas.
Ego vero tot licet tantisque malis affecta, Hospes,
rursus tamen amo meum maritum.
Quî enim ego possim non amare, quæ sim Amicitia?
« Sed frustra (dixerit quispiam fortasse), o mulier,
male dicis viro et sine omni ratione:
quippe potius ancillæ decebat maledicere,
quisquis est, quam tu Stultitiam vocas:
hæc enim eum in scelus pellicit.
Verum tu illam procul habes ab judicio,
et ignem spiras palam circa Mundum. »
Hæc si quis forte proposuerit speciose exornata,
contra ego proponam hæc multo etiam probabilius.
Curnam ille, nobis ingenuis non auscultans,
totas præbuit aures ancillæ isti,
quamquam bene sciens servile genus inimicum esse heris?
At enim quî fieri possunt nuptiæ cum solvente nuptias?
aut quî, Amicitia absente ab nuptiis,
erit societas connubii?
Viden' phrenitin qua laborat, viden' temulentiam?
viden' insanam mentis perturbationem, viden' morbum?
Ne hoc certe quidem cognovit, Inimicitiæ naturam
nescire conjugare, sed scire modo solvere vincula.

Ὅπως δὲ σαφῶς τοῖς καθ' ἡμᾶς ἐντύχῃς,
κἀκ τῶν θύραθεν τῶν λόγων πιστωτέον·
ἡ μὲν γὰρ ἐμπίπτουσα καὶ πρὸς τὴν φύσιν,
αὐτὴν ἑαυτῇ φιλονεικεῖν κορθύει.
Τὸν Ἐτεοκλῆ καὶ Πολυνείκη βλέπε·
Ἔχθρας γὰρ ἀμφοῖν ἐγχορευσάσης μέσον
ἑκάτερος τέθνηκεν ἐξ ἑκατέρου.
Ἐγὼ δὲ συνδέουσα τοὺς ἀλλοτρίους,
κρείττους καθιστῶ συγγενῶν ὁμογνίων·
ὁ γὰρ Ὀρέστης καὶ Πυλάδης οἱ φίλοι
ἐμοὶ κατεπράξαντο τοὺς τόσους ἄθλους.
Ἀκήκοας, βέλτιστε, τῆς τραγῳδίας·
ἐντεῦθεν ἀντάκουε τῆς ῥαψῳδίας.
Ἕως μὲν Ἔχθρα τὴν σπάθην Ἀχιλλέως
θήγει κατ' αὐτοῦ τοῦ Μυκηναίου ξίφους,
ὁ Πριάμου παῖς πυρφόρος πρὸς τὸν στόλον,
τῆς Θετταλικῆς ἠρεμούσης ἀσπίδος·
κόλον δὲ τὸ πρὶν μακρὸν εἰς χεῖρας δόρυ
Αἴαντι τῷ γίγαντι τῷ πελωρίῳ·
ἐπὰν δ' ἐγὼ λάβοιμι τὸν τοῦ Πηλέως,
ἄλλως ῥιφέντος τοῦ κύβου τοῦ τῆς μάχης,
ὁ χθὲς διώκων εἰς φυγὴν νῶτα κλίνει·
καὶ νεκρὸς Ἕκτωρ ὁ στροβῶν τὴν Ἑλλάδα,
τὴν μίτραν οἰκτρῶς ἐκ ποδοῖν ἐζωσμένος,
ἱππηλατῶν δείλαιον ἱππηλασίαν,
χαίτας ἐκείνας τὰς καλὰς καὶ κοσμίας
καὶ τὸν καλὸν βόστρυχον εἰς κόνιν σύρων·
καὶ τὸ τρόπαιον τοῖς Ἀχαιοῖς ὡς μέγα.
Οὕτω διεστήκαμεν ἀλλήλων, Ξένε·
καὶ βελτίων τίς, σοὶ δίδωμι τὴν κρίσιν.
Ἀλλ' οὐχ ὁ Βίος ταῦτα· τὴν δ' Ἔχθραν λαβὼν,
ἐμὲ ξένην ἔδειξε καὶ τῆς ἑστίας.
Ἐγὼ μὲν οὖν ἄνειμι πρὸς τὸν πατέρα·
ἡ δ' Ἔχθρα λοιπὸν ἐγχορευέτω κάτω,
καὶ παιζέτω τὰ τέκνα ταύτης εἰς μέσον.
Βούλῃ μαθεῖν τὰ τέκνα τῆς Ἔχθρας τίνα;
υἱοὶ, Φθόνος, Λόχος τε, καὶ τρίτος Φόνος·
θυγατέρες δὲ, Κακία, Μῆνις, Μάχη.
Αὕτη μὲν οὖν, ὡς εἶπον, αὐτοῖς τοῖς τέκνοις
παρρησιαζέσθωσαν ἀμφὶ τὸν Βίον·
ἐγὼ δὲ λοιπὸν πρὸς τὸν αἰθέρα τρέχω·
οἶκτος δὲ πᾶς, καὶ πᾶσα φιλανθρωπία,
καὶ ζῆλος ἔμφρων, καὶ καλῶν πάντων ἔρως,
ὁρᾷς ὅπως ἅπαντα συμφεύγουσί μοι.

ΞΕΝΟΣ.

Καὶ ταῦτα μὲν, δέσποινα Φιλία, βλέπω·
συνεννοῶ δὲ καὶ τὸ μέλλον οὗ δράμῃ,
καὶ δακρύω μὲν τῆς ἀβουλίας χάριν
τὸν οἰκτρὸν ὄντως καὶ ταλαίπωρον Βίον.
Σὲ δ' ἄξια δρᾶν ὧνπερ ἀνέτλης κρίνω.
Πλὴν ἀλλ' ἰδού σε ποτνιῶμαι δακρύων,
πρὸς τοῦ τεκόντος ἀπαιτῶν, πρὸς τῶν Θρόνων,
πρὸς τῶν ἀΰλων οὐσιῶν, σύνελθέ μοι,

Ut autem manifeste res nostras intelligas
etiam peregrinis narrationibus et exemplis fides astruenda.
Nam illa incidens vel in naturam (*res natura junctas*),
hanc secum ipsa in vehementem discordiam agit.
Eteoclem et Polynicem inspice :
Inimicitia enim inter ambos media insultante
uterque periit alterius manu.
Ego vero alienos quoque jungens arcte,
firmiores amicos facio genere junctissimis.
Sic Orestes et Pylades amici
per me confecerunt tot res et tam arduas.
Audisti, o bone, tragœdiam :
jam vicissim ausculta rhapsodiam (*epos*).
Donec Inimicitia gladium Achillis
acuit in ipsum Mycenæum ensem,
Priami filius ignem intulit classi,
Thessalico quiescente scuto (*exercitu*) ;
et amputata quæ olim longa erat hasta in manibus
Ajaci giganti, viribus immani.
Ast ubi ego aggrediebar Pelei filium,
alium prorsus in modum cadente pugnæ alea,
qui heri victor fuerat, in fugam terga vertit :
et cæsus Hector ille, qui Græcos versabat,
zona ex pedibus miserabiliter ligatus,
gyrans cursum equestrem miserandum,
comas illas pulchras et elegantes
et cincinnum pulchrum in pulvere trahens ;
atque triumphus Achæis quam magnus !
Adeo distamus invicem, Hospes :
nunc utra nostrûm sit melior, tibi permitto judicium.
At non ita Mundus : imo Inimicitiam duxit,
et me vel a foco alienatam reddidit.
Ego igitur nunc ad Patrem redeo :
Inimicitia autem in posterum saltato in terra,
et jocantor liberi ejus in medio.
Vin' scire liberos Inimicitiæ qui sint ?
Filii sunt *Phthonos*, *Lochos* et *Phonos* (Invidia, Insidiatio, Cædes) :] filiæ autem *Kakia*, *Menis*, *Mache* (Improbitas, Ira, Pugna).] Hæc igitur, ut dixi, una cum liberis suis libere grassantor erga Mundum.
Ego jam nunc in æthercam domum scando :
et misericordia omnis, omnisque humanitas,
zelusque prudens, rectorumque omnium amor,
vides ut pariter omnes una mecum fugiant.

HOSPES.

Et hæc quidem, domina Amicitia, video,
et mente futurum volvo quo sit cessurum :
et deploro propter consilii perversitatem
illum revera miserandum et infelicem Mundum.
Te vero judico condigna facere acceptis malis.
At enim, en ! te supplico lacrimas fundens,
per parentem rogans, per Thronos,
per immateriales substantias, veni ad me,

τὴν καλύβην εἴσελθε, τὴν στέγην μάθε·
ἀπορρόφησον φιάλης νηφαλίου,
καὶ τοῦ τρύφους γεύθητι, τοῦ ποτηρίου,
καὶ τοῦ γ' ἔδους μετάσχε καὶ τῶν ἁλάτων.

ΦΙΛΙΑ.

Μὴ τοῦτό μοι, μὴ τοῦτο, μὴ τοῦτο, Ξένε·
ἅλις γὰρ ὧν πέπονθα τῷ πρόσθεν χρόνῳ·
τί πλειόνων δεῖ; τῶν παρελθόντων ἅλις.

ΞΕΝΟΣ.

Δίκαια φῄς, δέσποινα, καὶ καλῶς λέγεις·
οἷς γὰρ πέπονθας, καὶ τὰ μέλλοντα κρίνεις.
Ὅρκῳ δ' ἐγώ σοι πιστοποιῶ τὸν λόγον·
οὐδὲν γὰρ ἂν δράσω σε τῶν ἐναντίων.
Οὐκ αἰσχυνῶ τὸ φίλτρον, οὐ τὴν ἀγάπην,
οὐχὶ πρὸς αὐτῶν, ὧν ἔφης, φρικτῶν λόγων.

ΦΙΛΙΑ.

Δύναιο δ' ἄν μοι ταῦτα προσφέρειν ἕδνα,
εἴ σοι παράσχω τοῦ γάμου τὰς ἐγγύας;

ΞΕΝΟΣ.

Τὰ ποῖα; λέξον, ὡς ἐγὼ παράσχομαι.

ΦΙΛΙΑ.

Χαίρειν ἐπ' ἄλλων ἀγαθοῖς ἔξεστί σοι;

ΞΕΝΟΣ.

Ἔξεστιν.

ΦΙΛΙΑ.

Ἐν λύπαις δὲ λυπεῖσθαι νόθοις;

ΞΕΝΟΣ.

Μάλιστα.

ΦΙΛΙΑ.

Τὰς στρεβλὰς δὲ φεύγειν διπλόας;
λαλεῖν δὲ ταὐτὰ καὶ φρονεῖν τῇ καρδίᾳ;

ΞΕΝΟΣ.

Καὶ τοῦτο πάντως. Ἄλλο λοιπὸν πυνθάνου.

ΦΙΛΙΑ.

Ἔχειν τὰ σαυτοῦ τῶν φίλων ἐν δευτέρῳ;

ΞΕΝΟΣ.

Ἔχειν.

ΦΙΛΙΑ.

Δι' αὐτοὺς καὶ θανατᾶν πολλάκις;

ΞΕΝΟΣ.

Ναὶ, καὶ θανατᾶν.

ΦΙΛΙΑ.

Καὶ φθονοῦσι μὴ φθονεῖν;

ΞΕΝΟΣ.

Ναί.

---

in casam meam intra, tugurium meum cognosce.
Sorbe pateram sobriam,
et panem meum gusta, poculum,
domicilium mecum et sal commune habeas.

AMICITIA.

Noli hoc mihi offerre, noli hoc, noli hoc, Hospes.
Satis superque *sunt* quæ passa sum elapso tempore :
quid opus est pluribus? sufficiunt præterita.

HOSPES.

Justa loqueris, domina, et bene dicis;
ex ante exantlatis enim postfutura judicas.
Sed jurejurando ego tibi mea verba obstringo :
nihil quod adversum tibi sit, unquam ego committam.
Non contaminabo fœdus amoris, non caritatem,
non faciam, per illa ipsa, quæ dixisti, tremenda verba.

AMICITIA.

Poterisne mihi hæc afferre dona nuptialia,
si tibi præbeam nuptiarum sponsionem?

HOSPES.

Quæ vero? dic; nam præbebo ego.

AMICITIA.

Potesne esse lætus de aliorum felicitate?

HOSPES.

Possum.

AMICITIA.

Malisque condolere alienis?

HOSPES.

Maxime.

AMICITIA.

Animumque fugere sinistrum et duplicem?
et eadem loquique et sentire in pectore?

HOSPES.

Etiam hoc maxime. Alia dehinc quærito.

AMICITIA.

Tuas res posthabere amicorum rebus?

HOSPES.

Plane.

AMICITIA

Pro amicis vel mori cupere multoties?

HOSPES.

Ita, vel mori.

AMICITIA.

Nec invidere iis qui tibi invident?

HOSPES.

Non.

ΦΙΛΙΑ.

Τοὺς δὲ βασκαίνοντας ἀγαπᾶν;

ΞΕΝΟΣ.

Πάνυ.

ΦΙΛΙΑ.

Δέδοικα, ταῦτα μὴ λόγῳ μὲν προσδέχῃ, ἔργῳ δ' ἀπαρνήσαιο.

ΞΕΝΟΣ.

Καὶ μὴν ὤμοσα.

ΦΙΛΙΑ.

Ἄθρει τὸν ὅρκον, ὡς ἐμὲ ξυλλαμβάνεις.

AMICITIA.

At etiam diligere invidos?

HOSPES.

Plane

AMICITIA.

At metuo, hæc ne lingua in te recipias, factis autem repudies.

HOSPES.

Atqui juravi sancte.

AMICITIA.

Custodi jusjurandum : nam sic me tecum habes.

ΙΓΝΑΤΙΟΥ ΣΤΙΧΟΙ

ΕΙΣ ΤΟΝ ΑΔΑΜ.

IGNATII VERSUS

IN ADAMUM.

Ἀγῶνας, ἆθλα καὶ παλαίσματα βλέπων,
ἃ τοῖς γενάρχαις ὁ προσερπύσας ὄφις
δι' ἡδονῆς ἔπλεξε συμπλακεὶς πάλαι,
καὶ τὴν πολυθρύλλητον ἧτταν θαυμάσας,
καὶ τῆς παλαιᾶς νῦν ἀρᾶς μεμνημένος,
ἣν ἐξ ἐκείνων ἡ βροτῶν εὗρεν φύσις,
ἐχθροῦ φανέντος τῆς πάλης ὑπερτέρου,
τῆς σῆς ἐν αὐτοῖς συμφορᾶς ἐπαισθάνου,
ὡς καὶ λελογχὼς τῶν ὁμοίων σκαμμάτων.
Ἐπεὶ γὰρ εἶδε τῶν νοητῶν τὴν φύσιν
ὁ πρὶν πεσὼν δύστηνος ἐκ φθορᾶς δράκων,
καὶ τὴν κάτω σύμπηξιν ἀρρήτῳ τάχει
λόγῳ παραχθεῖσάν τε καὶ βουλῇ μόνῃ,
οἷον τὸ σεπτὸν τῆς ἄνω κληρουχίας,
Χερουβὶμ, Ἀρχὰς καὶ Σεραφὶμ, καὶ Θρόνους,
Ἀρχαγγέλους, τάξεις τε φρικτῶν Ἀγγέλων,
γῆν, οὐρανὸν καὶ πᾶσαν τῶν ἄστρων θέσιν,
ὕδωρ τε καὶ πῦρ, ἀέρα ξὺν αἰθέρι,
φωστῆρα διφρεύοντα πρὸς τὴν ἡμέραν,
ἄλλον δὲ πυρσεύοντα νύκτα προσφόρως,
κτήνη τε, νηκτὰ πάντα καὶ πτηνῶν γένος,
καὶ πάντα κόσμον ἐν λόγῳ πεφηνότα,
τοῦτον δὲ χειρὶ καὶ προβουλίῳ μόνῳ **
λαβόντα τὴν ὕπαρξιν ἐνδεεστέραν,
καὶ δεσπότην δειχθέντα τῶν τεταγμένων,
ὡς παντὸς ἄλλου προκριθέντα τῷ λόγῳ,
τιμῆς τε πάσης ἔνθεν ἠξιωμένον,
ἐκ τοῦ δεδεῖχθαι τοῦ Θεοῦ κατ' εἰκόνα,
κινεῖ κατ' αὐτοῦ πᾶσαν ἐκ φθόνου πάλην,
ἕως ἀφῆκε τῆς Ἐδὲμ τοῦ χωρίου,
ἐν ᾧ τέθειτο καὶ φυτουργεῖν καὶ μένειν,
καὶ ταῖς ἐκεῖθεν ἐντρυφᾶν γεωργίαις·
Ἐδὲμ, τὸ πάντων θαῦμα τῆς ἕω τόπων,
ἣν τετράκλυστον ὥσπερ ἀρδεῦον ὕδωρ
φυτῶν ἁπάντων δεικνύει μαιεύτριαν,
πολλὴν φερόντων τέρψεως εὐμορφίαν,

Pugnas, certamina ac luctamina considerans,
quæ generis nostri auctoribus allapsus serpens
lubenter struxit olim colluctatus,
et diffamatam victoriam admiratus,
memorque nunc antiquæ imprecationis,
quam ex illis mortalium natura subiit,
hostis ubi prodiit e lucta superior,
tuam in his calamitatem intellige,
utpote qui in similia incidisti certamina.
Nam ubi vidit intelligibilium naturam
draco qui ante ex peccatis in perniciem ruerat,
et terrestrium compaginem ineffabili celeritate
verboque et voluntate sola productum
quam augusta sit superna cleruchia,
Cherubim, Principia et Seraphim et Thronos,
Archangelos, tremendorumque ordines Angelorum,
terram, cœlum et universum siderum ordinem,
aquam et ignem, aerem cum æthere,
luciferum sidus quod curru vehitur per diem,
alterumque quod noctem illustrat commode,
quadrupeda, natatilia omnia et volucrium genus,
atque totum mundum verbo productum,
hunc autem (*hominem*) manu solaque voluntate **
(*creatum et servientem sibi*) nactum creaturam inferiorem,] dominumque designatum omnium ordine creatorum,
quippe qui ceteris omnibus prælatus sit ob rationem
indeque honore omni habitus sit dignus,
utpote ad Dei imaginem formatus :
hæc videns dæmon nullam non ex invidia pugnam contra ipsum ciet,] donec ex Edem regione eum expulit,
in qua ut maneret agrosque coleret fuerat positus,
fruiturus iis quæ inde provenirent :
Edem, regionum Orientis omnium maxime admiranda,
quam quaterna scaturigine irrigans unda
constituit plantarum omnium obstetricem,
multam afferentium delectationis pulchritudinem,

καὶ πᾶσαν ὄψιν ἑστιώντων εἰς ἄγαν.
Ὥπερ δεδοικὼς ὁ πλάνος προσεγγίσαι,
ὡς οἷα χειρὶ τοῦ Θεοῦ λελημμένῳ
καὶ τὴν ἐκεῖθεν ὄψιν ὡραϊσμένῳ,
Εὔᾳ πρόσεισι τῇ φύσει νωθεστέρᾳ
καὶ τῇ πρὸς ἄνδρα προσβολῇ σοφωτέρᾳ,
ἣν εἰς βοηθὸν καὶ συνεργὸν τοῦ βίου,
πλευρᾶς ἐκείνου μικρὸν ἐξελὼν τρύφος,
ἔδειμε καὶ δέδωκεν αὐτῷ πανσόφως,
ἐνύπνιον δώρημα καὶ πόνων ἄκος·
οἷς καὶ παρασχὼν ἐντολῶν ὑποσχέσεις,
πάντων φυτῶν προὔτρεψε τὴν ἐξουσίαν,
ἑνὸς δὲ δὴ μάλιστα μὴ ψαύειν ὅλως·
ὡς, εἰ φάγοιεν, δεινὸν ἐκτίσαι μόρον,
εἴπερ δὲ μὴ τρώσειαν αὐτοῦ τὸν νόμον,
βιοῦν ἀλύπως εἰς χρόνων εὐκληρίας.
Ταύτῃ προσελθὼν, καὶ κορυσθεὶς καὶ πάλαι,
χωρεῖ πρὸς αὐτοὺς τοὺς ἀγῶνας, καὶ λέγει.

ΟΦΙΣ.

Τί δὴ πρὸς ὑμᾶς εἶπεν ὁ πλάσας, γύναι;
« μὴ τοῦδε προσψαύσητε τοῦ φυτοῦ μόνου· »
ὡς μὴ θεοὶ γένησθε βασκήνας, ἔφη.

ΕΥΑ.

Ἔφησε παντὸς ἐκ ξύλου βεβρωκέναι,
τούτου δὲ γεῦσιν τοῦ φυτοῦ φυγεῖν μόνον,
ὡς μὴ λάβοιμεν ἀντὶ βρώσεως μόρον.

ΟΦΙΣ.

Μὴ δὴ σὺ ταῦτα σαῖς φρεσὶ λαβοῦ, γύναι
ᾔδει γάρ· εἰ φάγοιτε τοῦ ξύλου μόνου,
ἔσεσθε πάντως ὡς θεοὶ, δεδορκότες.

ΕΥΑ.

Ἀδὰμ προσῆλθες τἀνδρί μου καὶ δεσπότῃ;
ἢ πάντα θαρσῶν ἧκες ὡς ἐμὲ, ξένε;
ἔγνως γὰρ ὡς πέφυκα τοῦδε δευτέρα.

ΟΦΙΣ.

Ἀδὰμ θελούσης οὐδὲν ἰσχύει, γύναι·
ἐφέψεται γὰρ, εἰ παραινέσεις, λόγοις,
καὶ δέξεται τάχιστα, σὺν σοὶ καὶ φάγῃ.

ΕΥΑ.

Ὄντως προσῆλθες ὡς ἐχούσῃ δειλίαν,
καὶ μηχαναῖς με τοῦτον ἐκλῦσαι λέγεις·
πρόσειμι λοιπὸν, εἴ γε δέξεται τάδε.

ΟΦΙΣ.

Μὴ δὴ προσέλθῃς τἀνδρὶ γεύσεως ἄτερ·
πρώτη δὲ πειράθητι, καὶ πρώτη φάγε·
πείσεις γὰρ οὕτως εὐπετῶς· γυνὴ γὰρ εἶ.

ΕΥΑ.

Ἔπεισας ὡς φάγοιμι, καὶ τῷ συζύγῳ
φαγεῖν παραινέσαιμι, σύμβουλε ξένε,
εἰ δὴ τύχοιμεν, ὧνπερ εἶπας, ἐλπίδων

---

et omnem obtutum mire pascentium.
Ad quem (*Adamum*) accedere seductor metuens,
utpote Dei manu formatum
et facie ad ejusdem imaginem facta ornatum,
Evam aggreditur, quæ quum natura esset stupidior,
mariti tamen consuetudine evasit prudentior,
quamque ipsi auxiliatricem vitæque sociam
parte parva ex ejus costis exempta
formavit ipsique dedit summa sapientia,
in somnis datum donum et ærumnarum medelam.
Quibus præbens mandatorum promissa,
omnium arborum concessit facultatem,
unam vero maxime vetuit ne vel tangerent :
nam si ederint, terribilem subituros mortem;
at si non læserint ipsius legem,
vitam molestiarum in omne tempus expertem sortituros.
Huic igitur appropinquans diu ante armata,
jam ad ipsa certamina accingitur, et dicit.

SERPENS.

Quid tandem Creator vobis dixit, mulier
« nolite hanc solam tangere arborem ? »
ne fiatis dii, ex invido dixit animo.

EVA.

Ex omni quidem dixit ligno nos posse manducare,
hujus vero solum arboris fructus ut fugiamus,
ne pro esu hoc mortem subeamus.

SERPENS.

Ne sint hæc tibi cordi, mulier :
sciebat enim *Deus*, quod, ex hoc solo ligno si manduca-
ritis,] oculi aperientur vestri et eritis prorsus sicut dii.

EVA.

Adamne adiisti conjugem meum ac dominum ?
aut ad me sponte præ audacia accessisti, hospes?
Noveras enim me illi esse subjectam.

SERPENS.

Nihil, te volente, Adam valebit, mulier.
Quem si adhortaberis, obtemperabit verbis tuis,
et accipiet celerrime fructum et una tecum comedet.

EVA.

Sane ut ad timidam accessisti ad me,
et me dolis hunc conficere posse dicis.
Adibo jam, si forte sit hæc accepturus.

SERPENS.

Noli convenire maritum quin de fructu ipsa ederis.
Tu prima periculum facito, tu prima edito :
sic enim facilius ipsi persuadebis; mulier enim es.

EVA.

Persuasisti ut ederem et conjugi meo
ut ederet sim auctor, consultor hospes,
si forte quæ dixisti sperata adipiscamur.

ΟΦΙΣ.

Μὴ δὴ βραδείας τὰς ὑποσχέσεις δίδου,
ὡς ἂν ταχείας τὰς ἐμὰς λήψῃ, γύναι·
τὸ γὰρ βραδῦνον οἶδε μὴ τίκτειν χάριν.

ΕΥΑ.

Ἄνερ, τὸ τερπνὸν τοῦδε τοῦ φυτοῦ βλέπων,
ἥδυνον ὡς μάλιστα γεῦσιν καὶ θέαν·
δέδεξο, καὶ γένοιο θεῖος, εἰ φάγοις.

ΑΔΑΜ.

Θεῖον τὸ δῶρον, εἰ παρέσχε τις ξένος;
καὶ πῶς θεὸν θήσει με γεῦσις, εἰ φάγω;
θεὸς γὰρ οὐδεὶς, ὃς μεθέξει βρωμάτων.

ΕΥΑ.

Ζητεῖς δὲ βέλτιόν τι τοῦ γνῶναι, φίλε,
φύσιν καλῶν τε καὶ κακῶν ἐν τῷ βίῳ;
Τούτου μετασχὼν, τοῖν δυοῖν πεῖραν λάβοις.

ΑΔΑΜ.

Καὶ πῶς γέ τις, τεθέντας ἐκβαίνων ὅρους
οὓς ὁ κτίσας ἔπηξεν ἠκριβωμένως;
Ὡς ἐκλάπης, τάλαινα, τῇ ῥαθυμίᾳ!

ΕΥΑ.

Ἔχεις ἀφορμὰς τὰς σαλευούσας ὅρους·
ἐμοὶ πρόσαψον, ἣν δέδοικας, αἰτίαν,
κἀγώ σε λύσω παντελῶς ὀφλήματος.

ΑΔΑΜ.

Ἰδοὺ, γέγευμαι· καὶ φθορὰν εἴσω, γύναι,
βλέπω συνεισρέουσαν ἐν τῇ κοιλίᾳ,
ἐξ ἧς, ἐγῷμαι, δεινὸς εἰσπέσῃ μόρος.

ΕΥΑ.

Καὶ τὴν ἐμὴν τρύχουσιν ἔνδον γαστέρα
ὠδῖνες, ἃς εἴληφα γεύσει τοῦ ξύλου,
ἐξ οὗ με παρήπαφε δυσμενὴς ὄφις.

ΑΔΑΜ.

Γυμνοὶ φανέντες, φεῦ! γύναι, τανῦν φράσον·
περιστελοῦμεν αἰσχύνην πῶς; εἰπέ μοι·
ὁρῶ γὰρ ὡς οὐκ ἔστιν αἰσχύνης σκέπη.

ΕΥΑ.

Τραχεῖα ταῦτα φύλλα συκῆς, ὡς βλέπεις.
Τούτοις περιστείλωμεν αἰσχύνης θέαν·
τραχὺς γὰρ ἡμῖν συμπεσεῖται νῦν βίος.

ΑΔΑΜ.

Ἔγνως τὸ δεινὸν ὀψέ πως τῶν σφαλμάτων,
καὶ τῆς δοθείσης νῦν ἐπῄσθου ζημίας·
οὐκοῦν τὸ κέρδος εἰσδέχου τῶν πρακτέων.

ΕΥΑ.

Ἔγνων παρακλαπεῖσα τὸν νοῦν ἀφρόνως,
καὶ σὰς ὑποφθείρουσα, σύζυγε, φρένας·
ὅθεν δέδειγμαι τῆς φθορᾶς παραιτία.

ΑΔΑΜ.

Οὐκ αἰσθάνῃ τοῖς ὠσὶν, ὦ γύναι, ψόφου,

SERPENS.

Noli tardas tuas promissiones exhibere,
meas ut celeres tu experiaris, mulier :
caret enim gratia quidquid fit tarde.

EVA.

Hujusce fructus, marite, delicias aspiciens
dulcedine afficias quantum maxime gustum et visum :
accipe, et fias sicut deus, si edere velis.

ADAM.

Divinumne hoc donum, si quis præbuit hospes?
et quomodo deum me reddet gustatio, si edero?
nemo est enim deus qui cibo fruitur.

EVA.

An tu quæras melius aliquid, amice, quam cognoscere
boni et mali in vita naturam?
Jam hinc si ederis, utrumque cognitum habebis.

ADAM.

Quomodo tandem, si quis limites transeat constitutos,
quos Creator tam exacte posuit?
Ut decepta es, misera, animi tui levitate!

EVA.

Habes causas quæ hos limites discutiant :
in memet congere culpam, quam times,
atque ego te omni crimine absolvam.

ADAM.

En, gustavi! jamque perniciem, mulier, intro
in ilia illapsam sentio :
unde, opinor equidem, terribilis mors in nos incidet.

EVA.

Meum quoque corrodunt intus ventrem
dolores, quos gustu ex arbore concepi,
ex quo serpens pessimus me seduxit.

ADAM.

En nos nudos, væh! mulier, jam loquere
quomodo pudorem velemus : dic mihi :
video enim non esse pudoris tegumentum.

EVA.

Dura hic folia ficus, ut vides.
His involvamus pudoris nuditatem :
dura namque inde vita nobis incidet.

ADAM.

Sero tandem peccatorum cognosti terribilem naturam,
et pœnam irrogatam nunc experta es :
mercedem ergo sustine culpæ.

EVA.

Sensi fallacia mentem meam esse abductam imprudentissime,] et tuum quoque, marite, animum a me corruptum :
unde me esse apparet perniciei auctorem.

ADAM.

Nonne exaudis, mea uxor, strepitum

ἄνωθεν, ὥσπερ ἐκ Θεοῦ, κτυπουμένου;
ὡς εὐλαβοῦμαι τὴν δίκην τῶν δρωμένων!

ΕΥΑ.

Ποδῶν Θεοῦ πάρεστιν εἰς ὦτα κτύπος,
οὗ δειλιῶσα τὴν παρρησίαν φέρειν,
σὺν σοὶ κρυβῆναι μᾶλλον εὐδοκῶ, φίλε.

ΑΔΑΜ.

Ποῖος τόπος κρύψει με καὶ κρυβήσομαι;
οὐδεὶς γὰρ ἔξω τοῦ Θεοῦ τόπος πέλει,
ἐν ᾧ φυγὼν λάθοιμι. Πλὴν ἕπου, γύναι.

ΘΕΟΣ.

Ἀδὰμ, τὸ πάντων κτισμάτων ὑπερφέρον,
τὸ τῆς ἐμῆς μέλημα χειρὸς καὶ κτέαρ,
ποῦ νῦν ἔβης; καὶ ποῖος ἀνθ' οἵου πέλεις;

ΑΔΑΜ.

Οἱ σοὶ λόγοι με γυμνὸν ὄντα καὶ πόδες
εἰς προῦπτον οὐκ ἐῶσιν ἐλθεῖν· ἀλλά γε
δεινὴ φυγή με συμποδίζει καὶ φόβος.

ΘΕΟΣ.

Τίς, ὦ τάλαν, σὰς νῦν παρήγαγε φρένας,
καὶ τὴν γύμνωσιν ἄρτι δεικνύει βλέπειν,
εἰ μὴ προσῆλθες οἷς προσελθεῖν οὐ θέμις;

ΑΔΑΜ.

Γυναικὶ πεισθεὶς, ἣν δέδωκας ὁ πλάσας,
πολλὴν φερούσῃ πεισμονὴν ἐκ τοῦ λέγειν
ξύλῳ προσῆλθον, οὗ φαγεῖν οὐκ ἦν θέμις.

ΘΕΟΣ.

Ἐπεὶ γυναικὸς εὑρέθης ἡττημένος,
καὶ τῆς ἐφετμῆς τῆς ἐμῆς παρεκλάπης,
ἔσῃ γεωργῶν τὰς ἀκάνθας τοῦ βίου,
αὔξων ἐπαύξων σὺν στεναγμῷ καὶ λύπας.
Τέξῃ δὲ τέκνα σὺν λύπαις, θνητὴ φύσις.
Ἱδρῶσι τὸ πρόσωπον ἐρραντισμένος
φαγῇ τὸν ἄρτον ἐν κόποις καὶ φροντίσιν,
ἕως, ἐὼν γῆς γηγενὴς, παλινδρόμει.

cœlitus velut de Deo venientem?
quantum criminis commissi vindictam exhorresco!

EVA.

Dei pedum ad aures accidit sonitus,
cujus metuens vocem increpantem sustinere
satius duco tecum me, amice, abscondere.

ADAM.

Quis me locus condet ita ut vere absconditus sim?
nullus enim locus extra Deum est
quo confugiam et lateam. Sed sequere, uxor

DEUS.

Adam, rerum creatarum princeps,
manuum mearum opus ac possessio:
quo nunc ivisti? qualis ex quali es factus?

ADAM.

Vox tua ac pedes (*adventus*) me nudum
venire in conspectum non sinunt: sed enim
fuga trepida ac metus me cohibent.

DEUS.

Quis, o miserrime, tuam nunc mentem seduxit,
et nuditatem jam tibi ostendit conspicuam,
nisi aggressus esses quæ nefas est aggredi?

ADAM.

Uxori fidens, quam dedisti, Creator,
multam afferenti persuasionem verbis suis,
accessi ad arborem, unde edere non erat fas.

DEUS.

Quia a muliere inventus es seductus,
mandatique mei oblitus,
eris colens spinas vitæ,
augens adaugens cum lamentatione gemitus.
Paries filios in doloribus, mortalis natura.
Sudore vultum conspersus
edes panem in laboribus et sollicitudinibus,
donec revertaris in terram de qua sumptus es.